Priusquam conuenirent ad coitum. Non dixit autem, priusquam ipsa veniret ad domum illius. Iam etiam in ea erat. Multis siquidem moris erat, vt apud se haberent sponsas, propter securitatem. Reperta est autem, hoc est, apparuit: ait autem *reperta est*, propter inopinatum effectum. Ne quispiam vero turbetur, eo quod dixerit, reperta est esse praegnans, si id solum audiat: ideo orationem contexuit, addens e *Spiritu sancto*.

Et quam ob causam non est impraegnata, antequam desponderetur? Ne occideretur, vtpote suspicione de ea habita, quod corrupta esset. Cui enim persuadere potuisset, cum viro se non esse congressam? Propter hoc ergo post desponsationem, et quum iam in domo viri esset, impraegnatur, vt verisimile sit, ex ipso concepisse: et ita periculum euadat. Praeterea, vt in necessariis habeat subministratorem et procuratorem: eo maxime tempore, quo in Aegyptum fugiendum erat.

Tu vero ne quaeras, quomodo conceperit: neque curiose scruteris, quo pacto formatus sit embrio. Hoc enim neque Euangelista docuit, neque ante ipsum angelus, qui virgini conceptum annuntiauit. Hoc siquidem ignorabant, eo quod incomprehensibile sit, solique beatae Trinitati cognitum. Verum id tantum scito, quod filius incarnatus est secundum patris voluntatem, cooperante etiam Spiritu sancto.

Vers. 19.

*) ἔνδον γὰρ ἦν, omittit. A.

Vers. 18. Μνηστευθείσης — ἐκ πνεύματος ἁγίου.

Πρὸ τοῦ συνελθεῖν αὐτοὺς εἰς συνάφειαν. οὐκ εἶπε δὲ, ὅτι πρὸ τοῦ ἐλθεῖν αὐτὴν εἰς τὴν οἰκίαν αὐτοῦ. ἔνδον 3) γὰρ ἦν. ἔθος γὰρ τοῖς πολλοῖς, παρ' ἑαυτοῖς ἔχειν τὰς μνηστὰς, δι' ἀσφάλειαν. εὑρέθη δὲ, ἀντὶ τοῦ, ἐφάνη. εὑρέθη δὲ εἶπε, διὰ τὸ ἀπροσδόκητον. ἐπεὶ δὲ εἴρηκεν, ὅτι εὑρέθη ἐν γαστρὶ ἔχουσα, ἵνα μὴ 4) θροηθῇ τις, ἀκούσας τοῦτο μόνον, ἐθεράπευσε τὸν λόγον, προσθεὶς, ὅτι ἐκ πνεύματος ἁγίου.

Καὶ τίνος ἕνεκεν οὐ γέγονεν ἔγκυος πρὸ τῆς μνηστείας; ἵνα μὴ ἀποθάνῃ, ὡς ὑποπτευθεῖσα διαφθαρῆναι. τίνα γὰρ ἂν ἔπεισεν, ὅτι οὐχ ὡμίλησεν ἀνδρί; διὰ τοῦτο τοίνυν μετὰ τὴν μνηστείαν, καὶ ἔνδον τῆς οἰκίας αὐτοῦ, ἐγκυμονεῖ, ἵνα νομισθῇ συλλαβεῖν ἐξ αὐτοῦ, καὶ οὕτω διαδράσῃ τὸν κίνδυνον, καὶ ἵνα σχῇ τοῦτον χορηγόν τε τῶν ἀναγκαίων καὶ κηδεμόνα. καὶ μάλιστα παρὰ τὸν καιρὸν τῆς εἰς αἴγυπτον φυγῆς.

Σὺ δὲ μὴ ζητήσῃς, πῶς συνέλαβε, μηδὲ περιεργάσῃ, πῶς διεπλάσθη τὸ ἔμβρυον. τοῦτο γὰρ οὔτε ὁ εὐαγγελιστὴς ἐδίδαξεν, οὔτε πρὸ αὐτοῦ ὁ ἄγγελος, ὁ εὐαγγελισάμενος τῇ θεοτόκῳ τὴν σύλληψιν. ἠγνόησαν γὰρ τοῦτο καὶ αὐτοὶ, διὰ τὸ εἶναι πᾶσιν ἀκατάληπτον, καὶ μόνῃ τῇ μακαρίᾳ τριάδι γνώριμον. τοῦτο δὲ γίνωσκε μόνον, ὅτι σεσάρκωται ὁ υἱὸς, εὐδοκίᾳ τοῦ πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου πνεύματος.

4) Plerumque in talibus adhibent θορυβηθῇ.

Verſ. 19. *Ioſeph — dimittere eam.*

Iuſtus quidem dicitur, qui auaritiam odit: dicitur etiam generaliter, qui virtutem colit: Sicut et hic Ioſeph iuſtus eſſe perhibetur, cum propter alias eius virtutes, tum propter manſuetudinem ac probitatem eius. Traducere autem dicebatur, quando vir ad concilium ducebat vxorem, de qua ſuſpicionem habebat, ipſamque accuſabat: et ita manifeſte eam a domo propria dimittebat. Quod nolens facere Ioſeph, voluit clam dimittere eam, vt et ipſe nulli obnoxius crimini ſecundum legem maneret, eas iubentem dimittere, quae aliunde in vtero haberent, et illam a malorum perpeſſione ſeruaret, quia id, quod factum erat, non manifeſtabat.

Verſ. 20. *Haec autem — apparuit ei.*

Vide manſuetudinis excellentiam. Non ſolum hac de re nihil alteri manifeſtabat, ſed nec ipſi, de qua ſuſpicionem habebat: tantum apud ſe cogitauit, clam dimittere eam. Et quare non antequam venter intumeſceret virginis dixit angelus ipſi Ioſeph, quae facta fuerant circa conceptionem ſine ſemine? Quia propter magnam rei nouitatem incredulus fuiſſet. Quum ergo res iam appareret, indicat faciliusque perſuadet. Praeterea, cur non ipſa virgo manifeſtauit Ioſeph, quum prius a Gabriele eſſet edocta? Quia ſciebat fidem ſibi non habendam: magis itaque laborabat ſtudens, quod impletum erat obtegere. Ad haec: quare non poſt ventris tumorem ſignificauit angelus virginis conceptionem, quae per Spiritum ſanctum facta eſſet? Quia niſi prius rem didiciſſet, timore ac perturbatione adeo exagitari potuit, vt mortem ipſa ſibi conſciſceret, plane ſciens, quod nulli vnquam perſuadere potuiſſet, ſe nulli commixtam eſſe viro. Pro-

Verſ. 19. Ἰωσὴφ — ἀπολῦσαι αὐτήν.

Δίκαιος λέγεται μὲν, καὶ ὁ μισῶν τὴν πλεονεξίαν, λέγεται δὲ, καὶ ὁ καθόλε ἐνάρετος, ὥσπερ καὶ νῦν ὁ ἰωσὴφ, δίκαιος εἶναι μαρτυρηθεὶς, διά τε τὰς ἄλλας αὐτᾶ ἀρετὰς, καὶ διὰ τὴν πραότητα καὶ ἀγαθωσύνην. παραδειγματίσαι δὲ ἐλέγετο, ὅταν ἀνὴρ παρὰ τὸ συνέδριον ἦγε τὴν ὑποπτευομένην, καὶ κατηγόρει ταύτης, καὶ ἔτως αὐτὴν φανερῶς ἀπέλυεν ἀπὸ τῆς οἰκίας αὐτᾶ, ὅπερ μὴ θέλων ποιῆσαι ὁ ἰωσὴφ, ἠβελήθη λάθρα ἀπολῦσαι αὐτὴν, ἵνα καὶ αὐτὸς ἀνεύθυνος ἀπὸ τᾶ νόμε μείνῃ, τᾶ κελεύοντος, ἀπολύειν τὰς κυέσας ἑτέρωθεν, κἀκείνην ἀπαθῆ κακῶν συντηρήσῃ, μὴ δημοσιεύσας τὸ γεγονός.

Verſ. 20. Ταῦτα δὲ — ἐφάνη αὐτῷ.

Ὅρα πραότητος ὑπερβολήν! ἐ μόνον γὰρ ἐκ ἐξεῖπεν ἑτέρῳ περὶ τᾶ πράγματος, ἀλλ' ἐδὲ αὐτῇ τῇ ὑποπτευομένῃ, ἀλλὰ καθ' ἑαυτὸν ἐνεθυμήθη, λάθρα ἀπολῦσαι αὐτήν. καὶ διατί μὴ, πρὸ τᾶ ἐξογκωθῆναι τὴν γαστέρα αὐτῆς, ὁ ἄγγελος εἶπε τῷ ἰωσὴφ τὰ περὶ τῆς ἀσπόρε συλλήψεως; διότι ἔμελλεν ἀπιστεῖσθαι, διὰ τὸ παράδοξον. λοιπὸν ἐν, ὁρωμένε τᾶ πράγματος, μηνύει, καὶ πείθει ῥᾴδιον. καὶ διατί μὴ ἡ παρθένος τῷ ἰωσὴφ ἀνήγγειλε, προδιδαχθεῖσα ταῦτα παρὰ τᾶ γαβριήλ; διότι ἐγίνωσκεν, ὡς οὐ πιστευθήσεται, μᾶλλον μὲν ἐν καὶ παροξυνεῖ, ὡς ἐπιχειρᾶσα συσκιάζειν τὸ πεπλημμελημένον. καὶ διατί μὴ καὶ τῇ παρθένῳ, μετὰ τὸν ὄγκον τῆς γαστρὸς, ἐμήνυσεν ὁ ἄγγελος τὴν ἐκ πνεύματος ἁγίε σύλληψιν; διότι, εἰ μὴ προμεμάθηκε τᾶτο, ἔμελλεν ἐν θορύβῳ εἶναι καὶ ταραχῇ, καὶ ἐπὶ βρόχον ἐλθεῖν, εὖ εἰδυῖα, ὡς ἐκ ἂν ποτε πείσῃ τινὰ, λέγουσα, μὴ ὁμιλῆσαι ἀνδρί.

Propterea virgini quidem ante conceptionem angelus nuntiauit, Ioseph autem parturitionis tempore.

Et Matthaeus quidem de angelo Ioseph apparente conscripsit: Lucas vero, quomodo virgini diuinus conceptus sit annuntiatus: vtrumque enim factum est. Rursum, quam ob causam in somnis ipsi Ioseph apparuit angelus et non manifeste, sicut virgini? Quia virgini quidem manifesta opus erat visione propter rei, quae significabatur, nouitatem: Ioseph autem videns quidem vteri tumorem, cognitam tamen habens vitae virginis puritatem ac innocentiam. Alio quoque modo facilius erat crediturus, tanquam qui somnia probe nouerat diiudicare: ideo in somnis angelum videt.

Vers. 20. *Dicens — coniugem tuam.*

David filium, ipsum nominat, mentem eius ad Dauid reducens, a quo Christum esse venturum expectabant Iudaei. Dicens autem, ne timueris, eidem manifestat proprii cordis arcanum. Timebat siquidem retinere Dei matrem: ne Deum offenderet, retenta contra legem adultera. Quid est autem accipere? Intus retinere, vel ad seipsum rursus capere. Iam enim mente ab eo diuisa erat. Accipere vero non ad nuptias, sed ad custodiam. Vxorem quoque tuam dixit, vt inde certiorem eum faceret, quod a nullo cognita esset viro.

V. 20. *Quod enim — a Spiritu sancto est.*

Formatum in ea, genitum dixit, vt discamus non paulatim, modo seminis, formatum esse: Sed repente quantum ad formationem perfecte factus est.

ἀνδρί. διὰ τοῦτο, τῇ μὲν παρθένῳ, πρὸ τῆς συλλήψεως, ὁ ἄγγελος διαλέγεται· τῷ δὲ ἰωσὴφ, ἐν τῷ καιρῷ τῶν ὠδίνων.

Καὶ ὁ μὲν ματθαῖος περὶ τοῦ ἀγγέλου τοῦ ἐπιστάντος τῷ ἰωσὴφ ἀνέγραψεν· ὁ δὲ λουκᾶς περὶ τοῦ εὐαγγελισαμένου τῇ παρθένῳ τὴν θείαν σύλληψιν. ἀμφότερα γὰρ γεγόνασι. καὶ διατί κατ' ὄναρ αὐτῷ φαίνεται ὁ ἄγγελος, καὶ μὴ φανερῶς, ὥσπερ καὶ τῇ παρθένῳ; διότι ἡ μὲν παρθένος ἔχρῃζε φανερᾶς ὄψεως, διὰ τὸ παράδοξον τοῦ μηνύματος· ὁ δὲ ἰωσὴφ, βλέπων μὲν καὶ τὸν ὄγκον τῆς γαστρὸς, γινώσκων δὲ καὶ τὸν βίον τῆς παρθένου καθαρόν τε καὶ ἀνεπίληπτον, εὐχερέστερον ἔμελλε πιστεύειν. ἄλλως τε δὲ, καὶ ὡς εὖ εἰδὼς διακρίνειν ὀνείρους, ἐν ὀνείρῳ βλέπει τὸν ἄγγελον.

Verſ. 20. Λέγων — γυναῖκά σου.

Υἱὸν δαυὶδ αὐτὸν ἐκάλεσεν, ἀνάγων τὴν διάνοιαν αὐτοῦ ἐπὶ τὸν δαυὶδ, ἀφ' οὗ προσεδόκων ἰουδαῖοι τὸν χριστὸν ἔσεσθαι. εἰπὼν δὲ, μὴ φοβηθῇς, ἀνεκάλυψεν αὐτῷ τὸ τῆς καρδίας αὐτοῦ μυστήριον. ἐφοβεῖτο γὰρ κατέχειν τὴν θεοτόκον, μὴ προσκρούσῃ τῷ θεῷ, μοιχαλίδα κατέχων παρὰ τὸν νόμον. τί δέ ἐστι τὸ παραλαβεῖν; ἔνδον κατέχειν παρ' ἑαυτῷ, λαβεῖν αὖθις. ἤδη γὰρ αὐτῷ κατὰ διάνοιαν ἀπολέλυτο. παραλαβεῖν δὲ οὐχ εἰς γάμον, ἀλλ' εἰς φυλακήν. τὴν γυναῖκά σου δὲ εἶπε, κἀντεῦθεν πληροφορῶν αὐτὸν, ὅτι οὐχ ὡμίλησεν ἀνδρί.

V. 20. Τὸ γὰρ — ἐκ πνεύματός ἐστιν ἁγίου.

Τὸ ἐν αὐτῇ διαπλασθέν. γεννηθὲν γὰρ εἶπεν, ἵνα μάθωμεν, ὅτι οὐ κατὰ μικρὸν ἐμορφώθη, νόμῳ σπέρματος, ἀλλ' εὐθὺς, ὅσον εἰς μόρφωσιν, τέ-

est. Vide autem, quomodo ipsum admonuit eius, quod a Dauid expectabatur: deinde manifestauit ipsi occultum cordis timorem, et quid facere decreuisset: postea docuit, puram esse eius sponsam: et ita tandem, quod rei caput erat intulit, videlicet, quod a Spiritu sancto esset, vt hoc modo facilius recepi posset.

† Quod ab aliquo esse dicitur, vel est modo generationis, iuxta illud: Ego a Deo exiui: vel modo creationis, iuxta illud: Vnus Deus et pater, a quo omnia: vel modo naturali, sicut effectus est ab operante. Quod igitur in virgine genitum est, non generationis modo a Spiritu sancto est: quia, quod natum est, caro est: neque naturali modo: spiritus enim incorporeus est. Reliquum est igitur, vt ab eo sit, tanquam creatura, vel plasmatio eius.

Vers. 21. *Pariet — a peccatis eorum.*

Tu hunc vocabis Iesum, quasi lege pater. Etsi, inquit, quae patris sunt circa ipsum non exercueris, quamuis tuum non est, quod natum est, ideoque nomen ipse de supernis attuli: tu tamen ipsi impones. Verum quia nomen Iesus, saluatorem significat, ostendit, merito ita vocandum esse: Ipse enim (inquit) saluum faciet populum suum, non a bellis sensibilibus, sed quod longe maius est, a peccatis eorum: quod nullus vnquam fecit hominum: vt hinc quoque manifestum faciat Deum esse, qui gignitur. Populum autem suum, iuxta proximum quidem intellectum, vocat Iudaeos, ex quibus natus erat, iuxta arcanum vero, omnes, qui

*) Inclusa Cod. A. habet in marg.

λιον διεπλάσθη. ὅρα δὲ, πῶς πρότερον ἀνέμνησεν αὐτὸν τῆς ἐκ δαυὶδ προσδοκίας, ἔπειτα ἐξεκάλυψεν αὐτῷ τὸν ἀπόῤῥητον φόβον τῆς καρδίας, καὶ ὃ ἐβουλήθη, εἶτα ἐδίδαξεν, ὅτι καθαρῶς μνηστή ἐστιν αὐτοῦ, καὶ τότε τὸ κεφάλαιον ἐπήνεγκεν, ὅτι ἐκ πνεύματός ἐστιν ἁγίου, ἵνα εὐπαράδεκτον οὕτω γένηται.

[Τὸ 5) ἔκ τινος, ἢ γεννητικῶς, κατὰ τὸ, ἐγὼ n) ἐκ τοῦ θεοῦ ἐξῆλθον· ἢ δημιουργικῶς, κατὰ τὸ, εἷς o) θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· ἢ φυσικῶς, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. τὸ τοίνυν ἐν τῇ παρθένῳ γεννηθὲν, οὔτε γεννητικῶς ἐκ τοῦ ἁγίου πνεύματος· ὅτι τὸ γεννηθὲν σάρξ· οὔτε φυσικῶς· ὅτι τὸ πνεῦμα ἀσώματον. λειπόμενον οὖν ἐστὶν, ἐξ αὐτοῦ εἶναι, ὡς δημιούργημα καὶ κτίσμα αὐτοῦ.]

n) Io. 8. 42.

o) 1 Cor. 8, 6.

Verf. 21. Τέξεται — ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

Σὺ τοῦτον καλέσεις ἰησοῦν, ὡς νόμῳ πατὴρ, εἰ καὶ μὴ φύσει, καὶ τὰ 6) πατρὸς ἐπιδείξῃ περὶ αὐτὸν, εἰ καὶ μὴ σόν ἐστι γέννημα. διὰ τοῦτο γὰρ τὸ μὲν ὄνομα αὐτὸς ἄνωθεν ἐκόμισα, σὺ δὲ τοῦτο ἐπιθήσεις αὐτῷ. ἐπεὶ δὲ τὸ ἰησοῦς ὄνομα, σωτῆρα σημαίνει, δείκνυσιν, ὅτι δικαίως οὕτω κληθήσεται. αὐτὸς γὰρ σώσει, φησὶ, τὸν λαὸν αὐτοῦ, οὐκ ἀπὸ πολεμίων αἰσθητῶν, ἀλλ᾽ ὃ πολλῷ μεῖζον ἦν, ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, ὅπερ οὐδεὶς ἀνθρώπων ποτὲ πεποίηκεν. ὡς εἶναι κἀντεῦθεν γνώριμον, ὅτι θεός ἐστιν ὁ τικτόμενος. λαὸν δὲ αὐτοῦ φησὶ, κατὰ μὲν τὴν πρόχειρον γνῶσιν, τοὺς ἰουδαίους, ἐξ ὧν ἀνεβλάστησε, κατὰ δὲ τὴν βαθυτέραν, πάντας τοὺς

6) τοῦ interponit Chryf. T. VII. p. 58. A.

qui in ipſum crederent, et ſibi ipſis regem hunc adſcriberent.

Verſ. 22. *Hoc autem — prophetam.*

Etiam hoc ſubdit angelus. Hoc autem totum: tale inquam, virginem ſcilicet a Spiritu ſancto impraegnari. Deinde adducit teſtimonium, per prophetam quidem Ieſaiam prolatum, non tamen quaſi eius ſit, ſed Dei: dictum enim eſt, inquit, a domino per prophetam.

Verſ. 22. *Dicentem — erit grauida.*

Hoc Iudaei deprauant, quosdam proferentes interpretes, qui ſcripſerunt: Ecce adoleſcentula. Quibus reſpondemus, cunctis illis interpretibus, multo fide dignius eſſe id, quod habent ſeptuaginta, non ſolum propter eorum multitudinem et conformitatem, verum etiam temporis ratione. Hi ſiquidem ante centum et eo plures annos ante Chriſti aduentum interpretati ſunt: ideoque omni carent ſuſpicione. Qui autem ſcripſerunt, *ecce adoleſcentula*, poſt Chriſti incarnationem interpretati ſunt, odio magis, vtpote Hebraei, veritatem obſcurantes: Alioqui nomen etiam adoleſcentulae, pro virgine ponit ſcriptura. Loquens ſiquidem de virgine, quae inſidias perpeſſa eſt: ſi clamauerit, inquit, adoleſcentula ſiue puella, hoc eſt virgo. Quod ſi iuxta eorum intellectum adoleſcentula nupta eſt, quid nouitatis habebit eam, quae nupta ſit, concepiſſe ac parere. Prius enim dixit propheta: Dabit dominus ipſe vobis ſignum, deinde addidit: Ecce virgo erit grauida. Signum autem dicitur, quod ſupra naturam eſt, non quod naturale.

Verſ. 23.

τοὺς αὐτῷ πιστεύσοντας, καὶ βασιλέα τοῦτον ἑαυτοῖς ἐπιγραψομένους.

Verſ. 22. Τοῦτο δὲ — προφήτου.

Ὁ ἄγγελος καὶ τοῦτο φησί. τοῦτο δὲ ὅλον, τὸ τηλικοῦτον, φημὶ δὴ τὸ ἐγκυμονῆσαι τὴν παρθένον ἐκ πνεύματος ἁγίου. εἶτα παράγει μαρτυρίαν, διὰ τοῦ προφήτου μὲν ἠσαΐου ῥηθεῖσαν, οὐκ αὐτοῦ δὲ οὖσαν, ἀλλὰ τοῦ θεοῦ.[7] τὸ ῥηθὲν γάρ, φησιν, ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου.

Verſ. 22. Λέγοντος — ἐν γαστρὶ ἕξει.

Ἐνταῦθα κακουργοῦσιν ἰουδαῖοι, προβαλλόμενοι τινὰς ἑρμηνευτὰς, γράψαντας, ἰδοὺ ἡ νεᾶνις. πρὸς οὓς φαμὲν, ὅτι μᾶλλον τῶν ἄλλων ἁπάντων ἑρμηνευτῶν τὸ ἀξιοπιστότερον οἱ ἑβδομήκοντα ἔχουσιν; οὐ μόνον διὰ τὸ πλῆθος καὶ τὴν συμφωνίαν, ἀλλὰ καὶ διὰ τὸν χρόνον. οὗτοι μὲν γὰρ πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν τῆς τοῦ χριστοῦ παρουσίας ἑρμηνεύσαντες, πάσης εἰσὶν ὑποψίας ἀπηλλαγμένοι· οἱ δὲ γράψαντες τὸ, ἰδοὺ ἡ νεᾶνις, μετὰ τὴν ἐνανθρώπησιν τοῦ χριστοῦ ἑρμηνεύσαντες, ἀπεχθείᾳ μᾶλλον, ὡς ἑβραῖοι, συνεσκίασαν τὴν ἀλήθειαν. ἄλλως τε δὲ, καὶ τὸ τῆς νεανιότητος ὄνομα ἐπὶ τῆς παρθενίας ἡ γραφὴ τίθησι. καὶ γὰρ περὶ κόρης ἐπιβουλευομένης διαλεγομένη, φησὶν, ἐὰν φωνήσῃ ἡ [p] νεᾶνις, τουτέστιν, ἡ παρθένος. εἰ δὲ κατ' αὐτοὺς νεᾶνις, ἡ γεγαμημένη ἐστὶ, τί καινὸν, τὸ τὴν γεγαμημένην ἐγκυμονῆσαι καὶ τεκεῖν; ὁ γὰρ προφήτης πρῶτον εἶπεν, ἰδοὺ,[q] δώσει κύριος ὑμῖν σημεῖον. εἶτα ἐπήγαγεν, ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει. σημεῖον δέ ἐστι, τὸ ὑπὲρ τὴν φύσιν, ἀλλ' οὐ τὸ κατὰ φύσιν.

p) Deut. 22, 27.

q) Ieſ. 7, 14.

Verſ. 23.

7) τοῦ, omittit. B.

Vers. 23. *Et pariet — nobiscum Deus.*

Vocabunt: quinam? Quicunque scilicet in ipsum crediderint. Atqui nullus ipsum Immanuel nominauit. Nomine quidem nullus, re autem omnes. Quia enim credentes, quum hic comprobaretur esse Deus, ita esse credebant: confitebantur, quod esset nobiscum Deus. Etenim nobiscum quasi homo conuersabatur: hoc autem est, Immanuel. Nam alias quoque hic est prophetis mos, vocationes appellare futuras actiones. Siquidem puerum hunc inter alia nomina prophetae praecepit Deus, vt vocet, Cito praedabitur, Cito spoliabit: non quod nomine ita vocatus sit, sed quod statim diabolum fugauerit, et quos ille captiuos habebat, praedatus sit, ac spoliauerit. Rapuit itaque vasa, quae prauitatem eius imbiberant: dico sane publicanos et scorta et latrones, quique ex gentibus crediderunt, et pleraque similia inueniemus.

V. 24. *Experrectus — coniugem suam.*

Quare somnio in re tanti momenti adeo facile credidit? Quia apparens angelus detexit ei proprii cordis cogitationem. Intellexit ergo vere a Deo venisse: solus enim Deus nouit cordium arcana. Postquam vero ipsum admonuit prophetiae Iesaiae, magis in adimpletione confirmatus est.

Vers. 25. *Et non — primogenitum.*

Posuit hic, *donec*, non vt suspicio tibi suboriatur, quod postea cognouerit eam. Sed quia Iudaei

Chri-

V. 23. Καὶ καλέσουσι — μεθ' ἡμῶν ὁ θεός.

Καλέσουσι, τίνες; ὅσοι δηλαδὴ πιστεύουσιν εἰς αὐτόν. καὶ μὴν, οὐδεὶς αὐτὸν ἐμμανουὴλ ὠνόμασεν. ὀνόματι μὲν, οὐδείς· πραγματικῶς δὲ, πάντες. οἱ γὰρ πιστεύοντες, ὅτι ὁ διαλεγόμενος αὐτοῖς, οὗτός ἐστι θεὸς, ἀφ' ὧν οὕτως ἐπίστευον, συνομολόγουν, ὅτι μεθ' ἡμῶν ὁ θεὸς, εἴτουν συναναστρέφεται ἡμῖν, ὡς ἄνθρωπος. τοῦτο δέ ἐστι τὸ ἐμμανουήλ. ἔθος δὲ, καὶ ἑτέρῳ, πολλάκις τοῖς προφήταις κλήσεις ὀνομάζειν, τὰς ἀποβησομένας πράξεις. καὶ γὰρ τοῦτο τὸ παιδίον ἐν ἄλλοις ὁ προφήτης ἐπιτρέπεται καλέσαι, ταχέως r) σκύλευσον, ὀξέως προνόμευσον· οὐχ ὡς οὕτω κληθέντος ὀνόματι, ἀλλ' ὡς αὐτίκα τὸν διάβολον καταστρεψαμένου καὶ σκυλεύσαντος, οὓς εἶχεν ἐκεῖνος αἰχμαλώτους, καὶ προνομεύσαντος, εἴτουν, διαρπάσαντος τὰ σκεύη τὰ τὴν πονηρίαν αὐτοῦ δεξάμενα, φημὶ δὴ, τελώνας καὶ πόρνας καὶ λῃστὰς καὶ τοὺς ἐξ ἐθνῶν. καὶ πολλὰ τοιαῦτα εὑρήσομεν.

r) Ies. 8, 3.

Vers. 24. Διεγερθεὶς — τὴν γυναῖκα αὐτοῦ.

Διατί τῷ ἐνυπνίῳ ῥᾷον ἐπίστευσε περὶ τηλικούτου πράγματος; διότι ὁ φανεὶς ἄγγελος ἀνεκάλυψεν αὐτῷ τὸ τῆς καρδίας αὐτοῦ ἐνθύμημα. συνῆκε γὰρ, ὅτι ὄντως παρὰ θεοῦ ἧκεν ὁ φανείς. μόνος γὰρ ὁ θεὸς οἶδε τὰ τῶν καρδιῶν ἐνθυμήματα. ἐπεὶ δὲ ἀνέμνησεν αὐτὸν καὶ τῆς ἡσαΐου προφητείας, ἔτι μᾶλλον εἰς πληροφορίαν ἐβεβαιώθη.

Vers. 25. Καὶ οὐκ — πρωτότοκον.

Τὸ ἕως ἐνταῦθα τέθεικεν, οὐχ ἵνα ὑποπτεύσῃς, ὅτι μετὰ ταῦτα ἔγνω αὐτήν, ἀλλ' ἐπεὶ ἐκ

πορ-

Christum e fornicatione natum nugabantur, blasphemiae eorum suspicioni obstans euangelista de solo tempore natiuitatem praecedente plenam fecit fidem: de insequenti vero tibi reliquit coniectandum. Quomodo enim tentasset, vel etiam cogitasset eam cognoscere, quae de Spiritu sancto concepisset, tantumque facta esset receptaculum? Cognitionem autem hic honeste pro carnis commistione posuit. Est praeterea scripturae idioma, dictionem, *donec*, ponere: non vt tempus determinet. Veluti de arca Noë: Et non est reuersus coruus, donec siccata est terra: neque enim postea reuersus est. Et rursum: *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.* Atqui post inimicorum subiectionem, a dextris eius sedet; plurimaque similia frequenter ponuntur. Primogenitum quoque nunc dicit, non eum, qui inter fratres primus fuerit, sed primum et solum. Inter varia namque primogeniti significata, tale etiam quippiam continetur. Etenim primum quoque esse eum, qui solus est, testatur scriptura, quum dicit: Ego Deus primus, et post me non est alter.

† Apud sacram scripturam quatuor ponuntur significata huius nominis, primogenitus. Denotat namque primum inter fratres genitum. Sic Ruben dicitur primogenitus in filiis Iacob. Significat quoque primum et solum genitum, sicut in praesenti loco. Ad haec etiam denotat egregium et honoratum. Sic dicitur, ecclesia primogenitorum in coelis descriptorum. Praeter haec autem omnia, significat et eum, qui simpliciter praecessit, iuxta illud: Primo-

8) Videtur hoc referri ad Io. 8, 41. Scripsi autem γεγεννῆσθαι, duplici νν, etsi vno repereram.

9) καὶ, addit. A.

πορνείας [8]) γεγεννῆσθαι τὸν χριςὸν ἐφλυάρουν ἰουδαῖοι, πρὸς τὴν βλάσφημον ὑπόληψιν αὐτῶν ἱςάμενος ὁ εὐαγγελιςὴς, περὶ μόνου τοῦ μέχρι τῆς αὐτοῦ γεννήσεως ἐπληροφόρησε χρόνου, τὸ δὲ μετὰ ταῦτα, σοὶ κατέλιπε συλλογίζεσθαι. πῶς γὰρ ἂν ἐπεχείρησεν, ἢ καὶ ὅλως ἐνεθυμήθη γνῶναι τὴν συλλαβοῦσαν ἐκ πνεύματος ἁγίου, καὶ τοιοῦτον δοχεῖον γεγενημένην; γνῶσιν δὲ, ἐνταῦθα τὴν συνάφειαν εὐφήμως ἐκάλεσεν. ἀλλὰ καὶ ἰδίωμά ἐςι τῆς γραφῆς, τὸ τὴν λέξιν πολλάκις, τὴν ἕως, μὴ ἐπὶ περιωρισμένου τιθέναι χρόνου. ὡς τὸ ἐπὶ τῆς κιβωτοῦ· καὶ οὐκ [s]) ἐπέςρεψεν ὁ κόραξ, ἕως οὗ ἐξηράνθη ἡ γῆ. οὔτε γὰρ μετὰ ταῦτα ἐπέςρεψε. καὶ αὖθις· κάθου [t]) ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καίτοι, καὶ μετὰ τὴν ὑποταγὴν τῶν ἐχθρῶν, ὁμοίως ἐκ δεξιῶν αὐτοῦ καθεδεῖται. καὶ πολλὰ τοιαῦτα πολλαχοῦ κείμενα. πρωτότοκον δὲ λέγει νῦν, οὐ τὸν πρῶτον ἐν ἀδελφοῖς, ἀλλὰ τὸν καὶ πρῶτον, καὶ μόνον. ἔςι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς σημασίαις τοῦ πρωτοτόκου. καὶ γὰρ [9]) πρῶτόν ἐςιν, ὅτε τὸν μόνον ἡ γραφὴ καλεῖ. ὡς τό· ἐγώ εἰμι [v]) θεὸς πρῶτος, καὶ μετ' ἐμὲ οὐκ ἔςιν ἕτερος.

s) Genes. 8, 7.
t) Ps. 109, 1.
v) Ies. 44, 6.

[Τέσσαρα δὲ [*]) παρὰ τῇ θείᾳ γραφῇ τοῦ πρωτοτόκου τὰ σημαινόμενα. δηλοῖ γὰρ τὸν πρῶτον τεχθέντα ἐν ἀδελφοῖς, ὡς ὁ [x]) ῥουβεὶμ λέγεται πρωτότοκος ἐν υἱοῖς ἰακώβ. ἔτι δὲ καὶ τὸν πρῶτον καὶ μόνον τεχθέντα, ὡς ἐπὶ τοῦ προκειμένου ῥητοῦ. πρὸς δὲ τούτοις, καὶ τὸν ἐξαίρετον καὶ τίμιον. ὡς τό· καὶ ἐκκλησία [y]) πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. ἐπὶ πᾶσι δὲ, καὶ τὸν ἁπλῶς

x) Gen. 35, 23.
y) Hebr. 12, 23.

*) δὲ, omittit. A. praeterea haec, quae inclusa sunt, in margine habet.

Primogenitus omnis creaturae, hoc eſt, ante omnem creaturam habens eſſe.

Verſ. 25. *Et vocauit nomen eius Ieſum.*

Vocauit Ioſeph, quemadmodum edoctus erat ab angelo.

Cap. I. De Magis.

Cap. II. v. 1. *Quum autem genitus eſſet Ieſus — Ieroſolyma.*

Quare et locum dicit, et tempus, ac Herodis dignitatem? Locum quidem, vt oſtendat, completam eſſe Michaeae prophetiam, qui dixit: *Et tu Bethlehem, terra Iuda, nequaquam minima es inter principes Iuda, ex te enim exibit dux, qui regat populum meum Iſrael.* Tempus vero, vt ſimiliter doceret, impletam eſſe prophetiam Iacob dicentis: *Non deficiet principatum tenens de Iuda, nec dux de femoribus eius, donec veniant, quae ei repoſita ſunt.* Inſtante nempe natiuitatis Chriſti tempore, defecit principatum tenens de Iuda, ac deinceps dominari coepit Herodes Idumaeus alienigena. Dignitatem quoque poſuit Herodis. Fuit enim et alter Herodes tetrarcha, qui praecurſorem interemit.

Hi autem Magi erant Perſae. Siquidem Perſae maxime inter omnes nationes magica exercebant. Conſidera etiam, quomodo ſtatim a principio gentibus in confuſionem Iudaeorum, fidei ianua aperitur. Quum enim hi prophetas habentes, qui Chriſti praedixerant aduentum, parum aduerterent animum, ideo diſpoſitum eſt, vt venirent

ἁπλῶς προόντα, ὡς τό· πρωτότοκος z) πάσης z) Col. 1, 15.
κτίσεως, τουτέστι, πρὸ πάσης κτίσεως ὤν.]

Vers. 25. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰησοῦν.

Ἐκάλεσεν αὐτὸ ὁ ἰωσὴφ, ὡς ἐδιδάχθη παρὰ τοῦ ἀγγέλου.

Κεφ. Α. Περὶ τῶν μάγων.

Cap. II. v. 1. Τοῦ δὲ ἰησοῦ γεννηθέντος — ἱεροσόλυμα.

Τίνος ἕνεκεν, καὶ τὸν τόπον λέγει, καὶ τὸν χρόνον, καὶ τὸ τοῦ ἡρώδου ἀξίωμα; τὸν μὲν τόπον, ἵνα δείξῃ, ὅτι πεπλήρωται ἡ τοῦ μιχαίου προφητεία, εἰρηκότος· καὶ a) σὺ βηθλεέμ, γῆ ἰούδα, a) Mich. 5, 2.
οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν ἰσραήλ. τὸν δὲ χρόνον, ἵνα διδάξῃ, ὅτι ὁμοίως ἐπληρώθη καὶ ἡ προφητεία τοῦ ἰακώβ, b) εἰπόντος· οὐκ ἐκλείψει ἄρχων ἐξ ἰούδα, b) Gen. 49, 10.
οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται. τοῦ χριστοῦ γὰρ γεννηθῆναι μέλλοντος, ἐξέλιπεν ἄρχων ἐξ ἰούδα, καὶ λοιπὸν ἦρξε τῶν ἰουδαίων ἡρώδης ὁ ἰδουμαῖος, ἀλλόφυλος. τὸ δὲ ἀξίωμα τοῦ ἡρώδου, διότι καὶ ἕτερος γέγονεν ἡρώδης ὁ τετράρχης, ὁ τὸν πρόδρομον ἀνελών.

Οὗτοι δὲ οἱ μάγοι, πέρσαι ἦσαν. οἱ πέρσαι γὰρ μάλιστα τῶν ἄλλων ἤσκουν τὰ μαγικά. ὅρα δὲ, ὅπως ἐκ προοιμίων ἀνοίγεται τοῖς ἔθνεσι θύρα πίστεως, εἰς αἰσχύνην τῶν ἰουδαίων. ἐπεὶ γὰρ τῶν προφητῶν ἀκούοντες, προαναφωνούντων τὴν χριστοῦ παρουσίαν, οὐ σφόδρα προσεῖχον, ᾠκονομήθη,

nirent barbari, hique Magi, et e longinqua regione, vt eos docerent, quod a propriis prophetis discere non curabant, vt, si postea contendere voluerint, non habeant, quod respondeant. Quid enim dicere poterunt, quando Magi, viso vnico astro, crediderunt, ipsi autem neque tot prophetis credere voluerunt.

Vers. 2. *Dicentes — ad adorandum eum.*

Et vnde cognouerunt, stellam illam regis Iudaeorum natiuitatem manifestare? Quia ex genere Balaam astrologi descendebant, et scripta illius adeuntes, inuenerunt ab eo dictum: *Orietur stella ex Iacob, et consurget homo ex Israel.* Tali itaque prophetia permoti, agnouerunt, ex Iudaeis regem nasciturum in modum stellae, excelsum scilicet et clarum. Ex eo igitur tempore stellas obseruabant: tunc autem hanc insuetam, et recenter apparentem videntes, nihil cunctando venerunt, vt eum, qui natus erat, adorarent, volentes a prima statim aetate ipsi pendere tributa, vt cognito, quis esset, et in qua ortus ciuitate: vbi creuisset, amicum sibi haberent. Et quidem vsque ad Palaestinae regionem stellae ducatum habuerunt. Vbi autem Ierosolymis appropinquassent, amplius eam non viderunt. Quod factum est, vt, duce perdito, interrogare cogerentur, fieretque Iudaeis manifestum, natum esse Christum, ne in posterum dicere possent: Non nouimus, vtrum natus sit. Significauit etiam stella Christum, vt Balaam prophetia compleretur. Quia enim prophetae, Christum praemonstrantes, Iudaeis persuasuri non erant: reliquum erat, vt gentibus stella indica-

θη, βαρβάρȣς ἐλθεῖν, καὶ τȣ́τȣς μάγȣς, καὶ ἐκ χώρας μακρᾶς, καὶ διδάξαι αὐτȣ̀ς, ὃ παρὰ τῶν προφητῶν μαθεῖν ȣ̓κ ἠνέχοντο, ἵνα, εἰ φιλονεικήσȣσιν ἔτι, πάσης ἀπολογίας ὦσιν ἐξερημένοι. τί γὰρ ἂν καὶ δύναιντο λέγειν, ὅταν μάγοι μὲν ἀπὸ ὄψεως ἑνὸς ἀςέρος πιςεύσωσιν, αὐτοὶ δὲ μηδὲ τοῖς τοσȣ́τοις προφήταις ἀνέχωνται πιςεύειν;

Vers. 2. Λέγοντες — προσκυνῆσαι αὐτῷ.

Καὶ πόθεν ἔγνωσαν, ὅτι ὁ ἀςὴρ ἐκεῖνος βασιλέως ἰȣδαίων ἐδήλȣ γέννησιν; ἐκ τȣ̃ γένȣς τȣ̃ ἀςρολόγȣ Βαλαὰμ καταγόμενοι, καὶ τὴν ἐκείνȣ μετιόντες ἐπιςήμην, εὕρισκον αὐτὸν προειρηκότα· ὅτι [c]) ἀνατελεῖ ἄςρον ἐξ ἰακὼβ καὶ ἀναςήσεται ἄνθρωπος ἐξ ἰσραήλ· καὶ λοιπὸν ἀπὸ τῆς τοιαύτης προφητείας ἐγίνωσκον, ὅτι βλαςῆσαι μέλλει ἐξ ἰȣδαίων βασιλεὺς, δίκην ἀςέρος ὑψηλὸς καὶ λαμπρότατος. καὶ λοιπὸν ἔκτοτε παρετήρȣν τȣ̀ς ἀςέρας. τηνικαῦτα δὲ τὸν ἀσυνήθη τȣ̃τον καὶ καινοφανῆ θεασάμενοι, μηδὲν μελλήσαντες ἦλθον προσκυνῆσαι τῷ γεννηθέντι, θέλοντες ἐκ πρώτης ἡλικίας αὐτῷ φιλίαν καταβαλέσθαι, καὶ ἵνα γνόντες, τίς τε εἴη, καὶ ἐν ποίᾳ πόλει γεγέννηται, αὐξάνοντι φίλῳ χρήσωνται. ἀλλὰ μέχρι μὲν παλαιςίνης ὑπὸ τȣ̃ ἀςέρος ὡδηγȣ̃ντο· τοῖς ἱεροσολύμοις δὲ πλησιάσαντες, ȣ̓κέτι τȣ̃τον εἶδον. τȣ̃το δὲ γέγονεν, ἵνα τὸν ὁδηγὸν ἀπολέσαντες, ἀναγκασθῶσιν ἐρωτῆσαι, καὶ ȣ̃τω γένηται κατάδηλον ἰȣδαίοις, ὅτι γεγέννηται ὁ χριςὸς, ὡς μὴ δύνασθαι αὐτȣ̀ς ἐς ὕςερον λέγειν, ὅτι ȣ̓κ οἴδαμεν, εἰ γεγέννηται. ἐμήνυσε δὲ τὸν χριςὸν ἀςὴρ, ἵνα καὶ ἡ τȣ̃ Βαλαὰμ προφητεία πληρωθῇ. ἐπεὶ γὰρ οἱ προφῆται, τοῖς ἰȣδαίοις περὶ τȣ̃ χριςȣ̃ προμηνύοντες, ȣ̓κ ἔμελλον πε-

c) Num. 24, 17.

dicaret iustitiae solem e terra orientem. Neque enim prophetam aut nuntium viderant, vt ab eis cognoscerent. Soli autem Persae stellam hanc obseruauerant: Soli namque diligentius circa astrologiam ab infantia occupabantur. Neque tamen omnes Persae, quia non omnes acris erant ingenii, neque aequaliter omnes erant credituri.

Nunc vero dicendum est contra Genethliacos, qui stellam hanc proferunt in patrocinium artis Genethliacae, stellam hanc non naturam stellarum, sed figuram duntaxat habuisse. Et vere diuina quaedam inerat potentia in hanc figuram transformata. Et hoc quidem ex multis manifestum est. Primum a via. Nam quaelibet stella ab ortu progreditur in occasum, sola haec a septentrione in meridiem ferebatur: talem nempe sortitur Palaestina situm, si ad Persidem conferas: Secundo a splendore. Siquidem nulla in die apparet, propter excessum lucis solaris: hanc solam in die apparentem sol occultare non poterat. Tertio ex hoc, quod, prout opus erat, apparebat, rursusque occultabatur. Vsque ad Palaestinae enim regionem ducatum illis praestans, apparuit. Ex quo autem Ierosolyma accesserunt, seipsam occultauit: rursumque a Ierosolymis exeuntibus, demonstratur. Et illis quidem euntibus, praecedebat, stantibus vero circummanebat, iuxta illorum necessitatem suum praebens motum. Quarto ex eo, quod terrae proxima incedebat, neque enim speluncam aut diuersorium demonstrasset, si aliis proxima stellis, sublimis lata fuisset: nunc autem veniens, stetit supra locum, in quo erat puer.

Vers. 3.

z) οἱ, addit. A.

a) καλύβην appellat Chrysostom. T. VII. p. 88. κατάλυμα

πείθειν, λοιπὸν τοῖς ἔθνεσιν ἀστὴρ μηνύει τὸν ἥλιον τῆς δικαιοσύνης, ἐκ τῆς γῆς ἀνατέλλοντα. οὔτε γὰρ προφήτην, οὔτε ἄγγελον ᾔδεισαν, ἵνα δι' αὐτῶν ἑλκυσθῶσι. μόνοι δὲ τὸν ἀστέρα τοῦτον παρεσημειώσαντο πέρσαι, ὡς μόνοι περὶ τὴν ὀξυτέραν ἀστρολογίαν ἐκ νεότητος ἀσχολούμενοι. οὐ πάντες δὲ οἱ πέρσαι, ὅτι οὐδὲ [2]) πάντες ἦσαν ὀξεῖς, οὐδὲ ἔμελλον ὁμοίως πιστεύειν.

Πρὸς δὲ τοὺς προβαλλομένους τὸν ἀστέρα τοῦτον εἰς συνηγορίαν τῆς γενεθλιαλογίας, ῥητέον, ὅτι οὐκ ἦν οὗτος φύσει ἀστὴρ, ἀλλ' ὄψει μόνον ἀστὴρ, καὶ ὡς ἀληθῶς θεία τις δύναμις, εἰς ταύτην μετασχηματισθεῖσα τὴν ὄψιν. καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν. πρῶτον μὲν, ἀπὸ τῆς πορείας. παντὸς γὰρ ἀστέρος ἐξ ἀνατολῆς εἰς δύσιν βαδίζοντος, οὗτος μόνος ἐξ ἄρκτου πρὸς μεσημβρίαν ἐφέρετο. τοιαύτην γὰρ ἔλαχε θέσιν ἡ παλαιστίνη πρὸς τὴν περσίδα. δεύτερον δὲ, ἀπὸ τῆς λαμπρότητος. οὐδενὸς γὰρ ἀστέρος ἐν ἡμέρᾳ φαινομένου, διὰ τὴν ὑπερβολὴν τῆς ἡλιακῆς λαμπρότητος, τοῦτον μόνον, ἐν ἡμέρᾳ φαινόμενον, οὐκ ἠδύνατο ὁ ἥλιος ἀποκρύπτειν. τρίτον, ἀπὸ τοῦ φαίνεσθαι κατὰ λόγον, καὶ πάλιν κρύπτεσθαι. μέχρι μὲν γὰρ παλαιστίνης ἐφαίνετο ὁδηγῶν αὐτούς· ἐπεὶ δὲ τῶν ἱεροσολύμων ἐπέβησαν, ἔκρυψεν ἑαυτόν. εἶτα πάλιν ἐξελθοῦσιν αὐτοῖς ἀπὸ τῶν ἱεροσολύμων ἐπεφάνη, καὶ βαδιζόντων μὲν προηγεῖτο, ἱσταμένων δὲ περιέμενε πρὸς τὴν χρείαν αὐτῶν τὴν ἑαυτοῦ ποιούμενος κίνησιν. τέταρτον, ἀπὸ τοῦ βαδίζειν πρόσγεια. οὐ γὰρ ἂν ἔδειξε τὸ [3]) σπήλαιον, εἰ παραπλησίως τοῖς ἄλλοις ἄστρασιν ὑψηλὸς ἐφέρετο. οὗτος δὲ, ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον.

τάλυμα, seu diuersorium, de suo videtur adiecisse interpres Hentenius. Vide infra ad vers. 11.

V. 3. *Quum audisset autem — cum illo.*

Herodes quidem iure turbatus est, nempe timens de regno suo, filiorumque suorum: tota autem ciuitas, quae Ierosolyma appellantur, quare turbata est? Atqui gaudere ipsam magis oportuit, quod ipsis rex natus esset, quem olim prophetae saluatorem ac redemptorem Israel praenuntiauerant, et gloriari tanquam propinquos, quod statim a cunabulis Persas ad sui adorationem attraheret. Verum excaecauit illos inuidia, statimque audientes, turbati sunt: quasi timentes, ne forte salutem consequerentur. Persae vero quum essent extranei, non solum nato non inuiderunt; imo a finibus suae regionis vsque Bethlehem propter eum venerunt. Iudaei autem quum essent cognati, etiam gloriae eius inuiderunt, ne forte magnus futurus esset: et quum Bethlehem prope haberent, ita inuidi fuerunt ac pigri, vt ad eam non accederent.

Vers. 4. *Et congregatis — Christus nasceretur.*

Atqui Magi non dixerunt, se Christum quaerere, cur igitur Herodes de Christo interrogat? quia iamdudum audiebat, in proximo nasciturum esse Christum regem Israel, statimque audiens in Iudaea natum esse regem, et quod hunc stella Persis indicasset, intellexit eum esse, qui dicebatur Christus: et conuocat principes sacerdotum ac scribas, vtpote dicta prophetica, librosque in ore habentes, et interrogat, vbi Christus nasceretur, hoc

4) ita etiam interpres. Coniici tamen possit, συγγενεῖ. Mox tamen est ἀλλογενεῖς et rursus συγγενεῖς.

Verf. 3. Ἀκέσας δὲ — μετ' αὐτῦ.

Ὁ μὲν ἡρώδης ἐταράχθη, δειλιάσας περὶ τῆς βασιλείας ἑαυτῦ τε καὶ τῶν παίδων αὐτῦ. πᾶσα δὲ ἡ πόλις, ἡ καλυμένη ἱεροσόλυμα, διατὶ τετάρακται; καίτοι χαίρειν αὐτὴν ἔδει μᾶλλον, ὅτι ἐγεννήθη αὐτοῖς βασιλεὺς, ὃν οἱ προφῆται πάλαι προκατήγγειλαν σωτῆρα καὶ λυτρωτὴν τῦ ἰσραὴλ, καὶ ἐγκαλλωπίζεσθαι ὡς[4]) συγγενεῖς, ὅτι εὐθὺς ἐκ σπαργάνων τὺς πέρσας εἵλκυσεν εἰς προσκύνησιν· ἀλλ' ἡ βασκανία τετύφλωκεν αὐτὺς, καὶ εὐθὺς ἀκέσαντες ἐταράχθησαν, ὥσπερ δεδοικότες, μήποτε σωτηρίας τύχωσιν. ἀλλὰ πέρσαι μὲν, ἀλλογενεῖς ὄντες, ὐ μόνον ὐκ ἐφθόνησαν τῷ γεννηθέντι, ἀλλὰ καὶ ἀπὸ τῶν περάτων τῆς οἰκουμένης μέχρι τῆς βηθλεὲμ ἦλθον δι' αὐτόν· ἰυδαῖοι δὲ, συγγενεῖς τυγχάνοντες, καὶ ἐφθόνησαν αὐτῷ τῆς δόξης, εἰ μέλλοι μέγας ἔσεσθαι, καὶ τὴν βηθλεὲμ ἐγγὺς ἔχοντες, ὐκ ἀπῆλθον. ὕτω καὶ φθονεροὶ ἦσαν καὶ ὀκνηροί.

Verf. 4. Καὶ συναγαγὼν — ὁ χριςὸς γεννᾶται.

Καὶ μὴν οἱ μάγοι ὐκ εἶπον, ὅτι τὸν χριςὸν ζητῦσι. πῶς ὖν ὁ ἡρώδης περὶ τῦ χριςῦ ἐρωτᾷ; διότι πάλαι ἤκυεν, ὅτι μέλλει γεννηθῆναι ὁ χριςὸς βασιλεὺς τῦ ἰσραὴλ, καὶ εὐθὺς ἀκέσας, ὅτι βασιλεὺς ἐγεννήθη ἐν ἰυδαίᾳ, καὶ ὅτι ἀςὴρ τῦτον πέρσαις ἐμήνυσε, συνῆκεν, ὅτι ὗτός ἐςιν ὁ λεγόμενος χριςὸς, καὶ συγκαλεῖ τὺς ἀρχιερεῖς καὶ τὺς γραμματεῖς, ὡς τὰς προφητικὰς[5]) βίβλυς καὶ ῥήσεις διὰ ςόματος ἔχοντας, καὶ διερωτᾷ, ποῦ

5) καὶ ῥήσεις, omittit. A.

hoc est, in quo terrae loco nasciturus inueniretur. Illi vero et locum dicunt, et testem citant prophetam. Scire autem oportet, quod nominatim Christum esse Deum, caeteris manifestius scripsit Daniel.

Vers. 5. *At illi* — Vers. 6. *Israel.*

Michaeae prophetia est, vt praediximus. Recitant autem ipsam pontifices et scribae sub compendium. Vide ergo, quae in laudem Bethlehem dominus per prophetam annuntiauerit. Etsi, inquit, vilis appares ad aspectum, quantum tamen ad id, quod animo concipitur, non es minima inter omnes principes tribus Iuda. Quaelibet namque tribus diuersos habebat in propriis ciuitatibus principes. Et vere nominatissima fuit post saluatoris natiuitatem. Quotidie enim ab vniuerso orbe accedunt, ipsam visuri, locumque, vbi Christus natus est, adoraturi. Deinde magnae famae ac nominis causam ponit: *ex te enim exibit*, hoc est, nascetur *dux*. Ducem autem ac pastorem siue rectorem, dixit regem. Nam Christus et secundum diuinitatem rex erat. *Regnum* (ait) *meum non est ex hoc mundo*: et secundum humanitatem. Siquidem regis exercebat opera: leges videlicet subditis condens: corrigens illos ac fouens: et pro eis moriens: quae maxime eum, qui vere rex est, insigniunt. Diadema enim et purpura, reliquaque similia, fastus magis sunt et arrogantiae.

Quo-

6) Hentenius videtur legisse θεόν.

7) δοκεῖς, pro εἶ. A.

ποῦ ὁ χριστὸς γεννᾶται, τουτέστιν, ἐν ποίῳ τόπῳ τῆς γῆς εὑρίσκεται, ὅτι γεννᾶται· οἱ δὲ καὶ τὸν τόπον λέγουσι, καὶ μάρτυρα παράγουσι τὸν προφήτην. χρὴ δὲ γινώσκειν, ὅτι ὀνομαστὶ [6]) χριστὸν τὸν χριστὸν φανερώτερον τῶν ἄλλων προφητῶν ὁ δανιὴλ ἀνέγραψεν.

Verſ. 5. Οἱ δὲ — Verſ. 6. ἰσραήλ.

Μιχαίου μὲν ἡ προφητεία, καθὼς ἀνωτέρω δεδηλώκαμεν· ἀπαγγέλλουσι δὲ αὐτὴν κατ' ἐπιτομὴν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς. ὅρα δὲ, ὁποῖα περὶ τῆς βηθλεὲμ διὰ τοῦ προφήτου προανεφώνησεν ὁ θεός; ὅτι εἰ καὶ τὸ φαινόμενον εὐτελὴς εἴ· [5]) ἀλλάγε τὸ νοούμενον οὐκ ἐλαχίστη τις ὑπάρχεις ἐν ὅλαις ταῖς ἡγεμονίαις τῆς τοῦ ἰούδα φυλῆς. ἑκάστη γὰρ φυλὴ διαφόρους εἶχεν ἡγεμονίας ἐν ταῖς οἰκείαις πόλεσι. καὶ ὄντως ὀνομαστοτάτη γέγονε, μετὰ τὴν γέννησιν τοῦ σωτῆρος. ἑκάστοτε γὰρ ἐκ περάτων τῆς οἰκουμένης ἔρχονται ταύτην ὀψόμενοι, καὶ προσκυνήσοντες τὸν τόπον, ἔνθα ὁ χριστὸς γεγέννηται. εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς ἐνδοξότητος· ὅτι ἐκ σοῦ ἐξελεύσεται; εἴτουν βλαστήσει, ἡγούμενος. ἡγούμενον δὲ [8]) καὶ ποιμένα ἐκάλεσε, τὸν βασιλέα. ὁ γὰρ χριστὸς ἦν μὲν [9]) βασιλεὺς, καὶ ὡς θεός. ἡ [d]) βασιλεία γάρ, φησιν, ἡ ἐμὴ, οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. ἦν δὲ καὶ, ὡς ἄνθρωπος. εἶχε γὰρ ἔργα βασιλέως, τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ, τὸ ῥυθμίζειν, τὸ περιέπειν, τὸ ὑπεραποθνήσκειν αὐτῶν, ἃ μάλιστα χαρακτηρίζουσι τὸν ἀληθῆ βασιλέα. τὸ γὰρ διάδημα καὶ ἡ πορφυρὶς καὶ τὰ τοιαῦτα, τύφου μᾶλλον καὶ ἀλαζονείας εἰσί.

d) Io. 18. 36.

Καὶ

[8]) δὲ, omittit. A.
[9]) poſt μὲν, rurſus habet γὰρ. A.

Quomodo autem eum dixit pastorem siue rectorem Israel: (vtrumque enim significat verbum ποιμαίνω, et regere et pascere,) quum vniuersam pauerit orbem? Ne offendantur Iudaei, quasi caeteris nihil amplius habentes: sed occasionem magis habeant familiaritatis eius: quod ab ipsis genitus, et apud eos natus sit. Si quis autem dicat: Quomodo ergo illos non pauit, quum sint ipsi Israel? Audiat, quod etiam hoc fecit: pauit enim illos, qui ex ipsis crediderunt. Alioqui etiam Israel est omnis, qui videt Deum. Israel namque, si quis interpretetur, idem sonat, quod videns Deum. Dicit autem Paulus: Non omnes, qui ab Israel descendunt, hi sunt Israelitae. Quodsi non omnes pauit Hebraeos, illorum culpa est, qui ab eo pasci noluerunt. Dixit enim: Non sum missus, nisi ad oues perditas domus Israel. Euangelista autem Ioannes: In sua, inquit, venit, et sui eum non receperunt.

Hoc quoque deprauant Iudaei, dicentes, de Zorobabel loquutam esse prophetiam. Quibus nos e diuerso dicimus, Zorobabel non in Bethlehem, sed in Babylonia natum esse. Tu vero Dei admirare gubernationem: quomodo ordinauit, a Magis quidem doceri Iudaeos, quod ipsum stella praedicauerit: a Iudaeis autem Magos, quod et prophetae ipsum praenuntiauerint.

Vers. 7. *Tunc Herodes — stellae.*

Quare hos clam vocauit? Quia suspectos habebat Iudaeos, nempe Christi cognatos: nec volebat, vt ipsi audirent, quae interrogaturus aut praeceptu-

ᵍ) ἐγεννήθη. A.

Καὶ πῶς εἶπεν αὐτὸν, ποιμένα τοῦ ἰσραήλ; σύμπασαν γὰρ τὴν οἰκουμένην ἐποίμανε. πῶς; ἵνα μὴ σκανδαλισθῶσιν ἰουδαῖοι, ὡς μηδέν τι πλέον τῶν ἄλλων ἔχοντες, ἀλλ' ἵνα μᾶλλον ἔχωσιν ἀφορμὴν οἰκειώσεως, ἐπεὶ καὶ ἐξ αὐτῶν ἐβλάστησε, καὶ παρ' αὐτοῖς [1]) ἐγεννήθη. εἰ δέ τις εἴποι· καὶ πῶς οὐκ ἐποίμανεν [2]) αὐτούς· οὗτοι γάρ εἰσιν ἰσραήλ; ἀκούσει, ὅτι καὶ τοῦτο πεποίηκεν. ὅσοι γὰρ ἐξ αὐτῶν ἐπίστευσαν, ἐποίμανε τούτους. ἄλλως τε δὲ, ἰσραὴλ ἐστι, πᾶς εἰδὼς θεόν. Ἰσραὴλ γὰρ ἑρμηνεύεται, ὁρῶν θεόν. Φησὶ γὰρ ὁ παῦλος· [e]) ὅτι οὐ πάντες οἱ ἐξ ἰσραὴλ, οὗτοι ἰσραήλ. εἰ δὲ μὴ πάντας τοὺς ἑβραίους ἐποίμανεν, ἐκείνων ἐστὶ τὸ ἔγκλημα, μὴ θελησάντων ὑπ' αὐτοῦ ποιμαίνεσθαι. εἴρηκε γάρ· οὐκ [f]) ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. καὶ ὁ εὐαγγελιστὴς δέ φησιν ἰωάννης· ὅτι [g]) εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

e) Rom. 9, 6.

f) Matth. 15, 24.

g) Io. 1, 11.

Κἀνταῦθα δὲ κακουργοῦσιν ἰουδαῖοι λέγοντες, ὅτι περὶ τοῦ ζοροβάβελ εἶπε ταῦτα ἡ προφητεία. πρὸς οὓς φαμὲν, ὅτι καὶ μὴν ὁ ζοροβάβελ οὐκ ἐν βηθλεὲμ, ἀλλ' ἐν βαβυλῶνι γεγέννηται. σὺ δὲ θαύμασον τὴν οἰκονομίαν τοῦ θεοῦ, πῶς παρεσκεύασεν ὑπὸ μὲν τῶν μάγων διδαχθῆναι τοὺς ἰουδαίους, ὅτι καὶ ἀστὴρ τὸν χριστὸν ἐκήρυξεν, ὑπὸ δὲ τῶν ἰουδαίων τοὺς μάγους, ὅτι καὶ προφῆται τοῦτον προκατήγγειλαν.

Vers. 7. Τότε ἡρώδης — ἀστέρος.

Διατί λάθρα τούτους ἐκάλεσε; διότι ὑπώπτευε τοὺς ἰουδαίους, ὡς συγγενεῖς τοῦ χριστοῦ, καὶ οὐκ ἤθελεν ἀκούειν αὐτοὺς, ἃ ἔμελλεν ἐρωτῆσαι καὶ παραγ-

[2]) ἐποίμανε τούτους. A.

cepturus erat: ne forte intelligentes quod ei insidiaretur, seruarent ipsum, tanquam proprium regem. Exacte autem perquisiuit, siue didicit tempus stellae, quando scilicet eis apparuerit: vt inde tempus natiuitatis Christi numeraret. Cogitauit enim, tunc procul dubio natum esse Christum, quando stella apparuerat.

Vers. 8. *Et missis illis — adorem eum.*

Vide dolum Herodis, et considera eius insipientiam. Si enim vere adoraturus erat, quare hoc clanculo praecipiebat? Si vero ipsum occidere parabat, quomodo non intelligebat, ex secreto praecepto hos in doli suspicionem adducendos? Primum autem de stella diligenter perquisiuit, et tunc praecepit: vt, si ei non manifestarent eum, de quo sibi renuntiari praecipiebat cognito tempore stellae, paratas insidias exercere posset. Sed o Herodes, qui contra Deum pugnam suscipis, redi quaeso ad teipsum. Quomodo occidere paras immortalem? Quomodo non intelligis, quod, quem prophetae olim annuntiauerunt, stellaque significauit, et Magi ad adorandum inducti sunt: huic te superstitem esse omnino sit impossibile?

V. 9. *Qui cum audissent — erat puer.*

Postquam iam locum didicerant, quare rursum ipsis stella apparuit? vt puerum demonstraret. Quomodo enim aliter eum agnouissent in tugurio natum, nec cubile splendidum habentem? Ob hoc igitur veniens, stetit supra locum, in quo erat puer, diuinum ostendens esse partum.

Vers. 10.

παραγγεῖλαι, μήποτε νοήσαντες, ὅτι ἐπιβουλεύει αὐτῷ, διασῶσιν αὐτὸν, ὡς ἴδιον βασιλέα. ἠκρίβωσε δὲ, ἀντὶ τοῦ ἀκριβῶς ἔμαθεν. ἠκρίβωσε δὲ τὸν χρόνον τοῦ ἀστέρος, ὅτε ἐφάνη αὐτοῖς, ἵνα ἐκεῖθεν ἀριθμήσῃ τὸν χρόνον τῆς τοῦ χριστοῦ γεννήσεως. προσεδόκησε γὰρ, ὅτι ὅτε οὗτος ἐφάνη, τότε πάντως ἐγεννήθη καὶ ὁ χριστός.

Verſ. 8. Καὶ πέμψας αὐτοὺς — προσκυνήσω αὐτῷ.

Ὅρα τὸν δόλον τοῦ ἡρώδου, καὶ διάσυρε τὴν ἄνοιαν αὐτοῦ. εἰ μὲν γὰρ ἀληθῶς ἔμελλεν αὐτῷ προσκυνῆσαι, διατί λάθρα τοῦτο παρήγγειλεν· εἰ δὲ ἀνελεῖν αὐτὸν ἐβούλετο, πῶς οὐ συνεῖδεν, ὅτι ἐκ τοῦ λάθρα παραγγέλλειν, εἰς ὑποψίαν δόλου τούτους ἐνίησι; πρῶτον δὲ ἠκρίβωσε περὶ τοῦ ἀστέρος, καὶ τότε παρήγγειλεν, ἵνα εἰ μὴ δηλώσουσιν αὐτῷ, περὶ οὗ παρήγγειλεν, ἀπὸ τοῦ χρόνου τοῦ ἀστέρος δυνηθῇ θηρεῦσαι τὸν ἐπιβουλευόμενον. ἀλλ', ὦ θεομάχε, φαίην ἂν πρὸς αὐτὸν, πῶς ἐπιχειρεῖς ἀνελεῖν τὸν ἀνάλωτον; πῶς οὐ συνῆκας, ὅτι ὃν προφῆται πάλαι κατήγγειλαν, καὶ ἀστὴρ ἐμήνυσε, καὶ μάγοι προσκυνεῖν ἐπείγονται, τούτου περιγενέσθαι παντελῶς ἀδύνατον;

Verſ. 9. Οἱ δὲ ἀκούσαντες — ἦν τὸ παιδίον.

Ἐπεὶ τὸ χωρίον ἔμαθον, τίνος ἕνεκεν ὁ ἀστὴρ πάλιν ἐφάνη αὐτοῖς; ἵνα ὑποδείξῃ τὸ παιδίον. πῶς γὰρ ἂν ἐπέγνωσαν αὐτὸ ἐν καλύβῃ γεγεννημένον, καὶ μήτε μητέρα ἔχον λαμπράν; διὰ τοῦτο τοίνυν ἐλθὼν ἔστη ἐπάνω, ὅπου ἦν τὸ παιδίον, δεικνύων, ὅτι θεῖόν ἐστι τὸ γεννηθέν.

Verſ. 10. *Viſa autem ſtella — valde.*

Gauiſi ſunt, vtpote reperto duce, nequaquam fallaci. Ex hoc enim certam habuerunt fiduciam, quod quaeſitum inuenirent.

Verſ. 11. *Et ingreſſi — matre eius.*

Domum hic tugurium vocat, quod Lucas diuerſorium dixit. Domus nempe erat, quod vtcunque inhabitaretur: diuerſorium autem, tanquam ſedes ac manſio ingredientium. Diuerſorium enim dicimus, etiam ipſum tentorium. Quum enim concurriſſent in ciuitatem Bethlehem omnes, qui a Dauid deſcendebant, cauſa cenſus, quem Caeſar fieri iuſſerat, prout ſcripſit Lucas: non inuenerunt, qui cum virgine erant domum liberam ad hoſpitandum, ideo ad diuerſorium quoddam declinauerunt, in quo praeſepe erat iumentorum. Statim autem peperit virgo Chriſtum: et quia alius locus non erat in diuerſorio, inuolutum faſciis infantem, reclinauit in praeſepe, iuxta Lucam.

Deinde, ſicut ait Chryſoſtomus, ipſum tulit: et quando ingreſſi ſunt Magi, ipſum ſuper genua habebat. Nec enim more aliarum matrum partus dolores ſuſtinuit: quia neque ex viro pepererat.

Verſ. 11. *Et proſtrati — myrrham.*

Et quomodo ipſum eſſe crediderunt, quum nihil viderent circa eum praeter tugurium, et matrem pauperculam, vilemque puerulum faſciis inuolu-

*) ἕτοιμον, σχολάζοντα.

V. 10. Ἰδόντες δὲ τὸν ἀςέρα — σφόδρα.

Ἐχάρησαν, ὡς εὑρόντες τὸν ἀψευδέςατον ὁδηγόν. ἐπληροφορήθησαν γὰρ λοιπὸν, ὅτι καὶ τὸ ζητέμενον εὑρήσεσι.

Verſ. 11. Καὶ ἐλθόντες εἰς — τῆς μητρὸς αὐτοῦ.

Οἰκίαν ἐνταῦθα, τὴν καλύβην εἴρηκεν, ἣν ὁ λεκᾶς b) κατάλυμα εἶπεν. οἰκία μὲν γὰρ ἦν, διὰ τὸ ὁπωσδήποτε οἰκεῖσθαι· κατάλυμα δὲ, ὡς καταγωγὴ τῶν εἰσερχομένων. καταλύειν γὰρ λέγομεν καὶ, τὸ κατασκηνεν. πάντων γὰρ τῶν ἐκ δαυὶδ καταγομένων συνδεδραμηκότων εἰς τὴν πόλιν αὐτε, τὴν βηθλεὲμ, διὰ τὴν παρὰ καίσαρος ἀπογραφὴν, ὡς i) ὁ λεκᾶς ἱςόρησεν, ἐχ εὗρον ἐλεύθερον 3) οἶκον ξενίας οἱ περὶ τὴν παρθένον· διὸ καὶ εἰς καλύβην τινὰ κατέλυσαν, ἐν ᾗ φάτνη ἀλόγων ἦν. αὐτίκα δὲ γεννήσασα τὸν χριςὸν ἡ παρθένος, ἐπεὶ ἐκ ἦν τόπος ἄλλος ἐν τῷ καταλύματι ἐκείνῳ, σπαργανώσασα ἀνέκλινε τὸ βρέφος ἐν τῇ φάτνῃ, k) κατὰ τὸν λεκᾶν.

b) Luc. 2, 7.
i) Luc. 2, 1.
k) Luc. 2, 7.

Εἶτα, καθὼς φησιν ὁ 4) χρυσόςομος, ἀνείλετο τἕτο, καὶ ἐπὶ τῶν γονάτων εἶχεν, ὅτε οἱ μάγοι εἰσῄεσαν. ἐδὲ γὰρ ἐν ὀδύναις ἦν, ὡς αἱ ἄλλαι μητέρες, διότι ἐκ ἐξ ἀνδρὸς ἐγέννησε.

Verſ. 11. Καὶ πεσόντες — σμύρναν.

Καὶ πῶς ἐπείσθησαν, ὅτι ἕτός ἐςιν, ἐδὲν μέγα περὶ αὐτὸν ὁρῶντες, ἀλλὰ καλύβην, καὶ μητέρα πενιχρὰν, καὶ τὸ παιδίον εὐτελῶς ἐσπαργανωμέ-

4) Tom. VII. p. 118. B.

uolutum? Quomodo? Primum quidem a stella, quae supra ipsum permanebat: deinde autem splendor quidam diuinus animas ipsorum illustrabat, et hunc manifestabat. Propterea obtulerunt ei haec munera. Aurum siquidem regiae dignitatis erat symbolum: Subditi enim auro tributa regibus pendunt: thus autem diuinitatis: thure namque Deo adoletur: myrrha vero mortalitatis: hac enim veteres vngebant mortuos, ne putrescerent, aut grauem redderent odorem. Ab his igitur, quae protulerunt, muneribus demonstrarunt eum, qui apparuit, puerum, et regem esse et Deum, ac tanquam hominem propter homines moriturum.

Potest quoque et alio modo dici, quod quia reges Babylonis Ierusalem quondam expugnauerant, ac diuinos thesauros depraedati fuerant, et hostias cessare fecerant, populumque iugulauerant: regnum autem Babylonis vna cum suis thesauris ad Persas deuolutum erat: ideo afferunt Persae Babyloniorum haeredes domino templi, quod tunc contumelia affectum fuerat: aurum quidem pro sublatis auri thesauris: thus autem pro hostiis: myrrham vero pro iugulatis.

Tu itidem obserua, quod quemadmodum Magi, nisi longe a propria terra recessissent, Christum nequaquam vidissent, ita neque tu ipsum videre poteris, nisi longe a terrenis affectibus recesseris. Dimitte et tu quoque regem insidias parantem ac turbatam ciuitatem: dico sane insidiantem mundi rectorem, tumultumque ciuitatis, et ad Christum festina. Siue enim Magus fueris curiosa sectatus, siue pastor simplex, nihil id tibi obfuerit, modo tali visione teipsum dignum reddens, ad eum venias adorandum, et non ad inhono-

νωμένον; πῶς; πρῶτα μὲν, ἀπὸ τῦ ἐφισαμένου ἀςέρος, ἔπειτα δὲ καὶ θεία τις ἔλλαμψις ἐπληροφόρησε τὰς ψυχὰς αὐτῶν. καὶ τῦτο δῆλον, ἀφ' ὧν προσήνεγκαν δώρων. σύμβολον γὰρ, ὁ μὲν χρυσὸς, βασιλείας· χρυσὸν γὰρ οἱ ὑπήκοοι τοῖς βασιλεῦσι δασμοφορῦσιν· ὁ δὲ λίβανος, θεότητος· λίβανος γὰρ τῷ θεῷ ἐθυμιᾶτο· ἡ δὲ σμύρνα, νεκρώσεως· ταύτῃ γὰρ οἱ πάλαι τὰς νεκρὰς ἤλειφον, χάριν τῦ μὴ σήπεσθαι, μηδὲ ὄζειν. ἔδειξαν ὖν, ἀφ' ὧν προσήγαγον, ὅτι τὸ φαινόμενον τῦτο παιδίον, καὶ βασιλεύς ἐςι, καὶ θεὸς, καὶ νεκρωθήσεται, ὡς ἄνθρωπος, διὰ τὰς ἀνθρώπας.

Ἔςι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ἐπεὶ οἱ βασιλεῖς βαβυλῶνος τὴν ἱερυσαλὴμ πάλαι πολιορκήσαντες, τά τε θεῖα κειμήλια ἀπεσύλησαν, καὶ τὰς θυσίας ἔπαυσαν, καὶ τὸν λαὸν κατέσφαξαν· ἡ δὲ τῆς βαβυλῶνος βασιλεία μετὰ καὶ τῶν χρημάτων εἰς τὰς πέρσας μετέπεσε· κομίζυσι λοιπὸν οἱ πέρσαι, διάδοχοι τῶν βαβυλωνίων γεγονότες, τῷ δεσπότῃ τῦ ἀτιμαθέντος τότε ναῦ χρυσὸν μὲν, ἀντὶ τῶν ἀφαιρεθέντων χρυσῶν κειμηλίων· λίβανον δὲ, ἀντὶ τῶν θυσιῶν· σμύρναν δὲ, ὑπὲρ τῶν κατασφαγέντων.

Σὺ δὲ γίνωσκε, ὅτι ὥσπερ οἱ μάγοι, εἰ μὴ πόῤῥω τῆς ἑαυτῶν ἐγένοντο γῆς, ὐκ ἂν εἶδον τὸν χριςόν· ὕτως ὐδὲ αὐτὸς τῦτον ἴδῃς, εἰ μὴ πόῤῥω τῶν γηΐνων σχέσεων ἀποςῇς. ἄφες καὶ σὺ τὸν ἐπίβυλον βασιλέα, καὶ τὴν ταραττομένην πόλιν, λέγω δὴ, τὸν ἐνεδρεύοντα κοσμοκράτορα, καὶ τὴν πολιτικὴν τύρβην, καὶ σπεῦσον ἐπὶ τὸν χριςόν. κἂν μάγος περίεργος εἴης, κἂν ποιμὴν ἁπλῦς, ὐδέν σε κωλύσει τῦτο, μόνον ἐὰν, ἄξιον σεαυτὸν τοιαύτης θέας ἀπεργασάμενος, ἐπὶ τῷ προσκυνῆσαι ἥκῃς, καὶ μὴ ἐπὶ τῷ ἀτιμάσαι. καὶ

honorandum. Christum siquidem inhonorat, qui ipsum indigne recipit. Sicque offer ipsi pro auro quidem purorum operum splendorem: pro thure autem orationem: Dirigatur enim oratio mea, inquit, sicut incensum in conspectu tuo: pro myrrha vero affectionum mortificationem, quae maxime conseruat animae substantiam, et suaui implet odore.

Considera etiam, quod Magis Ierosolyma ingredientibus, et de stella loquentibus, statim tota ciuitas turbata est, prophetaque in medium adductus est, ac locus partus manifestatus: et alia quaedam facta sunt: tum circa pastores in agro degentes, tum circa angelos Deum laudantes, tum circa Simeonem et Annam, quae Lucas scripsit. Haec autem omnia completa sunt, vt, quemadmodum diximus, non possent in posterum dicere Iudaei: Nos, quando natus est, non cognouimus. Etenim sicut dicit Chrysostomus, vsque ad impletionem dierum purificationis, hoc est, ad quadraginta dies, mansit puer Bethlehem: vt nisi voluntarie obsurduissent, oculosque clausissent ad ea, quae dicta vel visa sunt: venissent vtique Bethlehem, ipsumque vidissent. Nunc autem Persae a finibus terrae vsque Bethlehem venerunt: Hebraei vero Bethlehem circumadiacentes, ipsam ingredi noluerunt: neque ea videre, quae ab his, qui viderant, fuerant diuulgata. Nam et pastores omnibus sibi occurrentibus nuntiauerunt, quae viderant, sicut dixit Lucas. Persae quoque, qui ante populum Hebraeorum Christum viderunt, quasi facto significarunt Gentes ante populum Hebraeorum ipsum agnituras: quod etiam Paulus dixit Iudaeis:

*) Tom. VII. p. 103. B.

γὰρ ἀτιμάζει τὸν χριστὸν, ὁ ἀναξίως αὐτῦ μεταλαμβάνων. καὶ προσάγαγε αὐτῷ, ἀντὶ μὲν χρυσῦ, λαμπρότητα καθαρῶν πράξεων καὶ τιμίων λόγων· ἀντὶ δὲ λιβάνυ, προσευχήν·[l]) κατευθυνθήτω γὰρ, φησιν, ἡ προσευχή μυ, ὡς θυμίαμα ἐνώπιόν συ· ἀντὶ δὲ σμύρνης, νέκρωσιν παθῶν, ἥτις μάλιστα συνέχει τὴν ὐσίαν τῆς ψυχῆς, καὶ εὐωδίας ἐμπίπλησι.

l) Pſ. 140, 2.

Σκόπει δὲ, ὅτι τῶν μάγων ἐλθόντων εἰς ἱεροσόλυμα, καὶ περὶ τῦ ἀςέρος εἰπόντων, εὐθὺς ἐθορυβήθη πᾶσα ἡ πόλις, καὶ ὁ προφήτης εἰς μέσον ἤγετο, καὶ ὁ τῦ τόκου τόπος ἐφανερῦτο, καὶ ἄλλά τινα ἐγίνετο, τὰ κατὰ τὺς ἀγραυλῦντας ποιμένας, τὰ κατὰ τὺς αἰνῦντας τὸν θεὸν ἀγγέλυς, τὰ κατὰ τὸν συμεὼν, τὰ κατὰ τὴν ἄνναν, ἅπερ ὁ λυκᾶς[m]) ἀνέγραψε. ταῦτα δὲ πάντα ἐτελεῖτο, ἵνα, καθὼς προειρήκαμεν, μὴ δύνωνται λέγειν ἐς ὕςερον ἰυδαῖοι, ὅτι ὐκ ἔγνωσαν, πότε γεγέννηται. καὶ γὰρ, ὥς φησιν ὁ χρυσόςομος, ἄχρι συμπληρώσεως τῶν ἡμερῶν τῦ καθαρισμῦ, τυτέςιν ἐπὶ τεσσαράκοντα 5) ἡμέρας ἐν βηθλεὲμ ἦν τὸ παιδίον. καὶ εἰ μὴ ἑκόντες ἐκώφευον καὶ ἔμυον πρὸς τὰ λεγόμενα καὶ ὁρώμενα, πάντως ἂν εἰσῆλθον εἰς βηθλεὲμ, καὶ εἶδον αὐτό. νῦν δὲ, πέρσαι μὲν ἀπὸ περάτων τῆς οἰκυμένης ἦλθον ἕως τῆς βηθλεὲμ, ἑβραῖοι δὲ παρακαθήμενοι τῇ βηθλεὲμ, ὐκ ἠθέλησαν εἰσελθεῖν εἰς αὐτὴν, ὐδὲ ἰδεῖν τὰ παρὰ τῶν ὁρώντων θρυλλύμενα. καὶ γὰρ καὶ οἱ ποιμένες πᾶσιν, οἷς ἐνετύγχανον, ἀνήγγελον, ἃ εἶδον, ὡς εἴρηκεν ὁ[n]) λουκᾶς. οἱ μέν τοι πέρσαι, πρὸ τῦ δήμυ τῶν ἑβραίων ἰδόντες τὸν χριςὸν, ἐσήμαναν, ὡς ἐν συμβόλοις, ὅτι τὰ ἔθνη πρὸ τῦ δήμυ τῶν ἑβραίων ἐπιγνώσονται αὐτόν. ὅπερ καὶ ὁ παῦλος ἔλεγε πρὸς[o]) ἰυδαίυς·

m) Luc. 2, 8 ſeqq. ad 38.

n) Luc. 2, 18.

o) πρὸς τὺς ἰυδαίυς. A.

daeis: Vobis quidem oportuit primum loqui verbum Dei: ex quo autem indignos vos iudicaſtis, ecce conuertimur ad gentes.

Verſ. 12. *Et oraculo accepto — regionem ſuam.*

Antequam puerum vidiſſent, ſtella ducatum eis praeſtitit: poſtquam autem viderunt, angelus deinceps quaſi iam ſanctificatos alloquitur. Oraculo, inquit, accepto, hoc eſt, admonitione ſuſcepta: Reuerſi vero ſunt, citius credentes tanquam fideles, in regionem ſuam: futuri doctores eorum, quae facta ſunt. Nec ad Herodem redierunt: vt fruſtra ſe inſidiari intelligeret, et ab incoepto deſiſteret.

Verſ. 13. *Qui cum receſſiſſent — Aegyptum.*

Completis quadraginta diebus purificationis, ſicut dicit Lucas, adduxerunt Ieſum Ieroſolyma, vt ſiſterent illum Domino, ſicut ſcriptum eſt in lege domini. Et vt perfecerunt omnia, quae ſecundum legem domini erant: reuerſi ſunt in Galilaeam, in ciuitatem ſuam Nazaret. Et exinde ſtatim angelus apparet Ioſeph in ſomnis, iubens eos in Aegyptum fugere. Quae ergo Matthaeus, breuitatis amator, praetermiſit, haec Lucas tanquam diligens conſcripſit.

† Ipse vos baptizabit. Per metaphoram dictionis, gratiae abundantiam refert Baptista. Et ignis repetitione, gratiae vehementia ac incomprehensibilitas demonstratur.

Vers. 12. *Cuius — inextinguibili.*

Ex his demonstrat, quod iudex etiam sit futuri seculi. Et aream quidem vocat vniuersalem orbis Ecclesiam, ad quam omnes operatores a domini prouidentia conducuntur. Ventilabrum autem iustum eius iudicium, quod eos sane, qui omni iniquitatis vento agitantur, quasi paleaceos, tradit igni gehennae inextinguibili: illos vero, qui virtutum habent grauitatem, in apothecam coelestium tabernaculorum colligit.

Nunc siquidem in area mixta sunt triticum et palea: tunc autem omnino discernentur, quando frumentum in apothecam deferendum est. In manu autem sua dixit, eo quod promptus ac paratus est ad diiudicandum. Vide autem quod postquam baptizauerit in Spiritu sancto, expurgat adhuc aream suam, ne suscepto baptismo torpeas.

Vers. 13.

6) ἀοράτως, omittit. A.
7) Inclusa in margine habet. A. Omittit. B.
8) ἔτος, abest. A.

νομοθετηθὲν ὑπὸ χριστοῦ βάπτισμα. καὶ γὰρ ἐφίπταται παντὶ βαπτιζομένῳ πνεῦμα ἅγιον, οὐ μόνον ἁγιάζον, ἀλλὰ καὶ ὡς πῦρ ἀοράτως [6]) ἀναλίσκον τὸν ῥύπον τῆς ψυχῆς αὐτοῦ. οὐκ εἰμὶ δὲ ἱκανὸς, ἀντὶ τοῦ, οὐκ εἰμὶ ἄξιος. οὕτω γὰρ ἔγραψεν ὁ [g]) ἰωάννης. g) Io. 1, 27.

[Αὐτὸς [7]) ὑμᾶς βαπτίσει· τῇ μεταφορᾷ τῆς λέξεως τὸ δαψιλὲς τῆς χάριτος ἐμφαίνει ὁ βαπτιστὴς, καὶ τῇ ἐπεξηγήσει τοῦ πυρὸς πάλιν, τὸ σφοδρὸν καὶ ἀκάθεκτον τῆς χάριτος ἐνδείκνυται.

Verſ. 12. Οὗ — ἀσβέστῳ.

Ἐκ τούτων παριστᾷ, ὅτι καὶ κριτής ἐστιν οὗτος [8]) τοῦ μέλλοντος αἰῶνος. καὶ ἅλωνα μὲν ὀνομάζει, τὴν πάνδημον ἐκκλησίαν τῆς οἰκουμένης, εἰς ἣν πάντες οἱ γεωργηθέντες ὑπὸ τῆς δεσποτικῆς ἐπιμελείας συνάγονται· πτύον δὲ, τὴν δικαίαν αὐτοῦ κρίσιν, ἥτις τοὺς μὲν παντὶ ἀνέμῳ τῆς ἁμαρτίας ῥιπιζομένους, ὡς ἀχυρώδεις, ἐκδίδωσι πυρὶ ἀσβέστῳ τῆς γεέννης, τοὺς δὲ βάρος ἔχοντας [9]) ἀρετῆς, συλλέγει εἰς τὴν ἀποθήκην τῶν οὐρανίων σκηνῶν.

Νῦν μὲν γὰρ, ὡς ἐν ἅλωνι, ἀναμὶξ ὁ σῖτος καὶ τὸ ἄχυρον· τότε δὲ, πολλὴ ἔσται [1]) ἡ διάκρισις, ὅτε μέλλει ὁ σῖτος εἰς τὴν ἀποθήκην συγκομισθῆναι. ἐν τῇ χειρὶ δὲ αὐτοῦ εἶπε, διὰ τὸ εἶναι πρόχειρον καὶ ἕτοιμον εἰς τὸ διακρῖναι. ὅρα δὲ, ὅτι μετὰ τὸ βαπτίζειν ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ, διακαθαίρει τὴν ἅλωνα, ἵνα μὴ μετὰ τὸ βάπτισμα ῥαθυμήσῃς.

Verſ. 13.

9) τῆς, addit. B. 1) ἐστὶν ἡ. B.

Verſ. 13. *Tunc — ab eo.*

Cum ſeruis venit dominus: ſed illi quidem, vt poenitentiae actus demonſtrarent acceſſerunt, ipſe vero vt populo manifeſtaretur. Ita enim dixit Ioannes, quod vt manifeſtaretur Iſraeli.

Verſ. 14. *Ioannes autem — ad me.*

Cognouit quis eſſet per inhabitantem in ſe Spiritum ſanctum. Ait enim Ioannes Euangeliſta: *Videt Ioannes Ieſum venientem ad ſe, et ait: Ecce agnus Dei, qui tollit peccata mundi*, etc. Nunc vero prohibebat ipſum dicens: *mihi opus eſt vt abs te baptizer:* ego peccatis obnoxius, ab eo, qui peccare non poteſt: in nuda aqua baptizans, ab eo qui baptizat in Spiritu ſancto et igni: ſeruus a domino: homo a Deo, et tu tamen e diuerſo venis ad me? Alii enim per interrogationem legunt verba illa, tu venis ad me? Theologus autem Gregorius per affirmationem quaſi prophetantis ac dicentis: *Sequeris me qui occidar*, hoc eſt, occideris et tu.

Verſ. 15. *Reſpondens — modo.*

Deſine modo impeccabilitatis ac diuinitatis meae velamenta obtendere: neque enim ſunt haec praeſentis temporis: Sed diſpenſatorio modo a te baptizor. Quemadmodum enim propter homines homo factus ſum, vt tanquam homo fallam diabolum ipſos

[2]) *παρεγένοντο*, A.

[3]) Pro *ἀκολυθεῖς* et *ἀναιρῇ*, quod repereram, dedi, *ἀκολυθήσεις* et *ἀναιρεθήσῃ*.

Vers. 13. Τότε — ὑπ' αὐτοῦ.

Μετὰ τῶν δέλων ὁ δεσπότης· ἀλλ' ἐκεῖνοι μὲν, ἵνα μετανοήσωσι, ²) παρεγίνοντο· ἔτος δὲ, ἵνα ἀναδειχθῇ τῷ λαῷ. οὕτω γὰρ καὶ ὁ Ἰωάννης εἶπεν, ὅτι ἵνα ᵇ) φανερωθῇ τῷ Ἰσραήλ. h) Io. 1, 31.

Vers. 14. Ὁ δὲ Ἰωάννης — πρός με.

Ἔγνω, τίς ἦν, ὑπὸ τῦ ἐνοικῦντος αὐτῷ θείου πνεύματος. Φησὶ γὰρ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι βλέπει ⁱ) ὁ Ἰωάννης τὸν Ἰησῦν ἐρχόμενον πρὸς i) Io. 1, 29. αὐτὸν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τῦ θεῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τῦ κόσμυ, καὶ τὰ ἑξῆς. νῦν δὲ διεκώλυεν αὐτὸν, λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. ἐγὼ, ὁ ὑπεύθυνος ἁμαρτίαις, ὑπὸ τῦ ἀναμαρτήτυ, ὁ βαπτίζων ἐν ψιλῷ ὕδατι, ὑπὸ τῦ βαπτίζοντος ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ, ὁ δοῦλος, ὑπὸ τῦ δεσπότυ, ὁ ἄνθρωπος, ὑπὸ τῦ θεῦ· καὶ σὺ λοιπὸν ἀνάπαλιν ἔρχῃ πρός με. οἱ μὲν οὖν ἄλλοι κατ' ἐρώτησιν ἀναγινώσκουσι τὸ, καὶ σὺ ἔρχῃ πρός με; ὁ θεολόγος δὲ Γρηγόριος κατὰ ἀπόφασιν, ὡς προφητεύσαντος, ὅτι ἀκολυθήσεις μοι ἀναιρυμένῳ, τυτέστιν ᵏ) ἀναιρεθήσῃ καὶ σύ.

Vers. 15. Ἀποκριθεὶς — ἀφίησιν.

Παραχώρησον τόγε νῦν ἔχον, μὴ ⁴) προβαλλόμενος εἰς παραίτησιν τὰ τῆς ἐμῆς ἀναμαρτησίας καὶ θεότητος. νῦν γὰρ ἐκ ἔστι τέτων καιρός· ἀλλ' οἰκονομικῶς ὑπὸ σῦ βαπτίζομαι. ὥσπερ γὰρ διὰ τὲς ἀνθρώπες γέγονα ἄνθρωπος, ἵνα ὡς ἄνθρωπος καταβα-

⁴) Particulam negatiuam μὴ, quam sensus postulabat, addidi.

ipsos decipientem: ita propter ipsos, sicut ipsi baptizor: vt in aquis eorum sordes sepeliam, qui regenerandi sunt per aquam et spiritum. Simul autem et hoc dispensatorie ago, vt videlicet per baptismum populo demonstrer.

Vers. 15. *Sic — iustitiam.*

Sic congruit vt compleam omne Dei praeceptum[5]: hic enim iustitiam praeceptum Dei appellat. Omnia, inquit, quae iussit lex compleui praecepta. Solum nempe id reliquum est, vt baptizer. Sic itaque decet, vt compleam omnem iustitiam, videlicet per baptismum: vt quia vetus Adam vnicum non compleuit praeceptum: ego nouus Adam pro ipso omnia adimpleam, illiusque posteritatem perficiam, et a condemnatione quam ille a se descendentibus distribuit, illos liberem, qui me imitabuntur. Praeceptum autem erat Dei, et baptismus Ioannis. Ait enim: qui misit me ad baptizandum in aqua, etc.

Vers. 16. *Tunc — aqua.*

Dicunt aliqui, quod vnumquemque baptizatorum, in aquam ad collum vsque immissum detinebat, quousque peccata sua confessus esset, et post confessionem ascendebat de aqua. Christus autem quum peccatum non haberet, non est detentus

5) Chrysostom. T. VII. p. 140. B. τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν.

6) In his offendo. Particula ἤγουν enim similia iungit. Dissimilia autem πληρῶσαι et διὰ τοῦ βαπτισθῆναι. Coniicio igitur, leui mutatione, διὰ τοῦ βαπτισθῆναι.

παβαλῶ τὸν καταβαλόντα αὐτὸς διάβολον· ὅτω δι' αὐτὸς, ὡς αὐτοὶ, βαπτίζομαι, ἵνα ἐνθάψω τοῖς ὕδασι τὸν ῥύπον τῶν μελλόντων ἀναγεννηθῆναι δι' ὕδατος καὶ πνεύματος. ἅμα δὲ καὶ ἕτερόν τι οἰκονομῶ, τὸ ἀπὸ τῦ βαπτίσματος ἀναδειχθῆναί με τῷ λαῷ.

Verſ. 15. Οὕτω — δικαιοσύνην.

Οὕτως ἁρμόζει μοι, πληρῶσαι πᾶσαν ἐντολὴν θεῦ. δικαιοσύνην γὰρ νῦν, τὴν [5]) ἐντολὴν τῦ θεῦ λέγει. πάσας τὰς ἐντολάς, φησιν, ἐξεπλήρωσα, ὅσας ὁ νόμος ἐκέλευσεν· αὕτη δὲ μόνη ὑπελείφθη, ἡ περὶ τῦ βαπτισθῆναι· λοιπὸν ὖν ὅτω πρέπει μοι πληρῶσαι πᾶσαν ἐντολὴν, ἤγουν, [6]) διὰ τῦ βαπτισθῆναι· ἵνα, ἐπεὶ ὁ παλαιὸς ἀδὰμ τὴν μίαν ἐντολὴν ὐκ ἐπλήρωσεν, ἐγὼ λοιπὸν, ὁ νέος ἀδὰμ, ἀντ' αὐτῦ πληρώσω πάσας, καὶ ἀναπληρώσω τὸ ἐκείνυ ὑστέρημα· καὶ ἧς ἐκεῖνος πάλαι καταδίκης τοῖς ἐξ αὐτοῦ μετέδωκε, ταύτης ἐγὼ νῦν ἀπαλλάξω τὺς ἐξ ἐμοῦ. ἐντολὴ δὲ ἦν θεῦ, καὶ τὸ ἰωάννυ βάπτισμα. εἴρηκε γὰρ αὐτὸς, ὅτι ὁ k) πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπε, καὶ τὰ ἑξῆς. k) Io. 1, 33.

Verſ. 16. Τότε — ὕδατος.

Φασί τινες, ὅτι ἕκαστον τῶν βαπτιζομένων, χαλῶν ὁ βαπτιστὴς ἄχρι τραχήλυ, κατεῖχεν αὐτὸν, ἕως ἂν [7]) ἐξωμολογήσατο τὰς ἁμαρτίας αὐτῦ, καὶ τότε ἀφεθεὶς ἀνέδυεν ἀπὸ τῦ ὕδατος· ὁ δὲ χριστὸς, μὴ ἔχων ἁμαρτίαν, ὐκ ἐνεβράδυνε·

7) Coniici poſſit, ἐξομολογήσαιτο, etſi non ignoro, memorari exempla particulae ἂν cum Indicatiuo.

tus in aqua: et ob hanc caussam aiunt Euangelistam dicere, quod statim ascendit de aqua.

Vers. 16. *Et ecce — complacitum est.*

Veteris Adam inobedientia paradisum nobis clausit: noui autem obedientia coelum nobis aperuit. Maiorem enim bonorum fruitionem nobis acquisiuit, quam fuerit perditio. Et vide quo pacto Christus populo demonstratus est: clare videlicet ac manifeste. Postquam enim Ioannes de ipso turbis praedixerat, ac sensim ad huius dicta animum aduertebant: vt viderunt etiam ipsum quasi vnum de populo baptizari, offendiculum passi sunt. Et idcirco coeli quidem aperiuntur, ostendentes, quod ab ipsis descenderit columba, vt super eum vocem deriuaret, ne ipsam de Ioanne testificari putarent. Et ita pater testimonium dedit filio: Spiritus sanctus vero super eum descendit, quasi digito demonstrans hunc esse, de quo ferretur testimonium. In specie autem columbae. Hoc enim animal in multis Spiritum sanctum imitatur. Siquidem homini amicum est: nec facile irritatur ad iram: pullis quoque priuatum patienter sustinet, neque minus ad eos, qui se priuauerunt, accedit: mundissimum etiam est, et bono gaudet odore.

Huius quoque columbae figura erat illa, quae Noë finem diluuii nuntiauit. Quemadmodum enim tunc erat diluuium ab aqua, ita et nunc a peccato: et sicut illa denuntiauit cessationem illius diluuii, ita et ista huius praesentis. Aperti sunt autem coeli, et super baptizatum descendit Spiritus

*) ἐβράδυνε. A.

δυνε [8]) τῷ ὕδατι, καὶ ταύτου χάριν [9]) εἰπεῖν τὸν εὐαγγελιστὴν, ὅτι εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος.

Verſ. 16. Καὶ ἰδοὺ — εὐδόκησα.

Ἡ μὲν παρακοὴ τοῦ πάλαι ἀδὰμ ἀπέκλεισεν ἡμῖν τὸν παράδεισον, ἡ δ' ὑπακοὴ τοῦ νέου, ἤνοιξε τοὺς οὐρανοὺς, περιποιησαμένου ἡμῖν ἀπόλαυσιν μείζονα τῆς ἀπολωλυίας. ὅρα δὲ, πῶς ὁ χριστὸς ἀναδείκνυται τῷ λαῷ λαμπρῶς τε καὶ μεγαλοπρεπῶς. ἐπεὶ γὰρ ὁ ἰωάννης προεῖπε περὶ αὐτοῦ τοῖς ὄχλοις, καὶ ἠρέμα τούτῳ προσεῖχον, ὡς εἶδον καὶ αὐτὸν βαπτιζόμενον, ὡς ἕνα τῶν πολλῶν, ἐσκανδαλίσθησαν. καὶ λοιπὸν ἀνοίγονται μὲν οἱ οὐρανοὶ, δεικνύοντες, ὅτι ἐξ αὐτῶν κατῆλθε καὶ ἡ περιστερὰ, καὶ ἡ φωνή. κάτεισι δὲ ἡ μὲν φωνὴ, ἵνα μάθωσιν οἱ παρόντες, τίς ἐστιν ὁ βαπτιζόμενος· ἡ δὲ περιστερὰ, ἵνα ἑλκύσῃ τὴν φωνὴν ἐπ' αὐτὸν, καὶ μὴ νομίσωσιν, ὅτι περὶ ἰωάννου μαρτυρεῖ ἡ φωνή. καὶ ὁ μὲν πατὴρ ἄνωθεν ἐμαρτύρησε περὶ τοῦ υἱοῦ· τὸ δὲ πνεῦμα τὸ ἅγιον κατέβη ἐπ' αὐτὸν, ἀντὶ δακτύλου δεικνύον, ὅτι οὗτός ἐστιν ὁ μαρτυρούμενος. ἐν εἴδει δὲ περιστερᾶς, διότι τοῦτο τὸ ζῶον ἐκ φύσεως μιμήματα ἔχει τοῦ ἁγίου πνεύματος. φιλάνθρωπον γάρ ἐστι καὶ ἀνεξίκακον. ἀποστερούμενον γὰρ τῶν νεοσσῶν ὑπομένει, καὶ οὐδὲν ἧττον τοὺς ἀποστεροῦντας προσίεται. καὶ καθαρώτατόν ἐστι, καὶ τῇ εὐωδίᾳ χαίρει.

Ἅμα δὲ ταύτης τῆς περιστερᾶς τύπος ἦν ἐκείνη, ἡ τῷ νῶε τοῦ κατακλυσμοῦ τὴν λύσιν εὐαγγελισαμένη. ὥσπερ γὰρ τότε κατακλυσμὸς ἦν ἐξ ὕδατος· οὕτω καὶ νῦν ἐξ ἁμαρτίας. καὶ ὥσπερ ἐκείνη εὐηγγελίσατο τὴν κόπασιν ἐκείνου τοῦ κατακλυσμοῦ· οὕτω καὶ αὕτη τοῦ παρόντος. ἠνεῴχθησαν δὲ οἱ οὐρανοὶ, καὶ κατῆλθεν ἐπὶ τὸν

H βαπτι-

9) ἀπὸ κοινοῦ τὸ, φασίν.

ritus sanctus: vt discamus super omnem hominem baptizatum coelos aperiri, vocantes ipsum ad supernam habitationem. Ad eum quoque accedit Spiritus sanctus. Quodsi haec sensibilibus oculis non videmus, ne diffidas. Signa namque fidelibus non dantur, sed infidelibus: nobis autem signorum loco sufficit fides.

Simul etiam attende: quod sicut in Paschate, siue coena mystica, in vna mensa Iudaicum pascha adimpleuit ac finiuit: et suo dedit initium: ita quoque in baptismate, in eodem flumine fecit vtrumque. Coelorum enim apertio, et Spiritus sancti descensio, Christiani baptismatis dona erant. Quid est autem, *in quo mihi complacitum est?* Hoc est in quo oblector. Vel, quia nato ipso laudes cecinerunt angeli, dicentes: *Gloria in altissimis Deo, et in terra pax, in hominibus beneplacitum*, id est bona voluntas: bona autem voluntas erat, vt homines saluarentur: ideo nunc dicit: Hic est, in quo hominibus bona volui, hoc est, per quem est hominum salus.

Cap. IV. v. 1. *Tunc — a diabolo.*

Postquam tanquam homo omnia ad hominum doctrinam et fecit, et tulit: Semetipsum post baptismum Spiritui sancto tradit, vt ab eo ducatur, quocunque ille iusserit. Ducitur autem in desertum, vt a diabolo oppugnetur, vt et tu post baptismum nequaquam tui ipsius ductor sis, sed ducaris potius a Spiritu et post baptismum in tentationes incidens non turberis. Ad hoc enim armatus es, vt praelieris. Et hinc est, quod accedeu-

βαπτιζόμενον τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μάθωμεν, ὅτι ἐπὶ παντὸς ἀνθρώπου βαπτιζομένου ἀνοίγονται μὲν οἱ οὐρανοὶ, καλοῦντες αὐτὸν εἰς τὴν ἄνω κατοικίαν· ἐπιφοιτᾷ δὲ τούτῳ καὶ τὸ πνεῦμα τὸ ἅγιον. εἰ δὲ μὴ τοῖς αἰσθητοῖς ταῦτα βλέπομεν ὀφθαλμοῖς, μὴ ἀπιστήσῃς. τὰ σημεῖα γὰρ οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. ἡμῖν δὲ ἀρκεῖ ἡ πίστις, ἀντὶ σημείων.

Σὺ δὲ προσεπιθεώρησον, ὅτι ὥσπερ ἐπὶ τοῦ πάσχα ἐν μιᾷ τραπέζῃ πεπλήρωκε μὲν καὶ ἔπαυσε τὸ ἰουδαϊκὸν πάσχα, ἀρχὴν δὲ τῷ οἰκείῳ δέδωκεν· οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος, ἐν ἑνὶ ποταμῷ καὶ ἄμφω πεποίηκεν. ἥτε γὰρ ἄνοιξις τῶν οὐρανῶν, καὶ ἡ ἐπιφοίτησις τοῦ ἁγίου πνεύματος, τοῦ χριστιανικοῦ βαπτίσματος ἦσαν προχαράγματα. τί δέ ἐστι τὸ, ἐν ᾧ εὐδόκησα; ἀντὶ τοῦ, ᾧ ἐπαναπαύομαι· ἢ, ἐπειδὴ, γεννηθέντος αὐτοῦ, οἱ ἄγγελοι ὕμνουν λέγοντες, 1) δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· εὐδοκία δέ ἐστιν, ἡ ἀγαθὴ θέλησις· ἀγαθὴ δὲ θέλησις ἦν, τὸ σωθῆναι τοὺς ἀνθρώπους· νῦν εἶπεν, ὅτι οὗτός ἐστιν, ἐν ᾧ τὰ ἀγαθὰ ἠθέλησα, τουτέστι, δι' οὗ ἡ σωτηρία τῶν ἀνθρώπων.

1) Luc. 2, 14.

Cap. IV. v. 1. Τότε — ὑπὸ τοῦ διαβόλου.

Ἐπειδὴ, ὡς ἄνθρωπος, πάντα πρὸς διδασκαλίαν τῶν ἀνθρώπων καὶ ἔπραττε καὶ ὑπέμενεν, ἐκδίδωσιν ἑαυτὸν μετὰ τὸ βάπτισμα τῷ ἁγίῳ πνεύματι, καὶ ὑπ' αὐτοῦ ἄγεται, πρὸς ὃ ἂν ἐκεῖνο κελεύῃ, καὶ ἀνάγεται εἰς τὴν ἔρημον, ἐπὶ τῷ πολεμηθῆναι ὑπὸ τοῦ διαβόλου, ἵνα καὶ σὺ μετὰ τὸ βάπτισμα μηκέτι σεαυτὸν ἄγῃς, ἀλλὰ ἄγῃ μᾶλλον ὑπὸ τοῦ πνεύματος, καὶ ἵνα, μετὰ τὸ βάπτισμα περιπίπτων πειρασμοῖς, μὴ ταράττῃ. διὰ τοῦτο γὰρ ὡπλίσθης, ἵνα πολεμῇς. ὅθεν οὐδὲ κω-

cedentes tentationes Deus non prohibet. Primum quidem, vt virtutem armaturae, qua indutus es, agnoscas. Deinde vt bellare discas. Ad haec vt probatus fias. Praeterea vt hoc modo non extollaris. Demum vt scias magnum tibi concreditum esse thesaurum. Nisi enim ita fuisset, nequaquam frustra tecum confligeret inimicus: Nam vbi diuitias videt, ibi aciem ex aduerso instruit.

Ductus est autem in desertum inaccessum: quod manifestans Marcus, dicit etiam fuisse ibi cum bestiis: vnde maius quoque bellum demonstratur. Tunc enim magis irruit diabolus, quum hominem magis viderit solitarium, omnique priuatum consolatione.

Vers. 2. *Et — esuriit.*

Primum ieiunauit, innuens quod magnum propugnaculum sit ieiunium, his qui daemoni repugnant. Non excessit autem mensuram, quam ante ipsum attigerat Elias, et ante illum Moses: ne virtutem humanae naturae supergrediens, incredibile faceret se hominem esse: et hinc est, quod postea esuriit, hominem se esse confirmans. Siquidem homini proprium est ex ieiunio esurire. Superflue autem addi videtur de noctibus. Puto tamen propter Hebraeorum ieiunia additum esse: qui diebus ieiunantes, noctibus edebant. Marcus tamen et Lucas, noctes tanquam subintellectas praeterierunt.

Vers. 3. *Et — fiant.*

Marcus autem et Lucas dixerunt, quod etiam in quadraginta diebus tentabatur: vt manifestum sit, quod in illis quidem ipsum e longinquo tentabat: nem-

λύει τοὺς πειρασμοὺς ἐπιόντας ὁ Θεός. πρῶτον μὲν, ἵνα γνῷς τὴν δύναμιν τῆς περιτεθείσης σοι πανοπλίας· ἔπειτα, ἵνα μάθῃς πολεμεῖν· εἶτα, ἵνα γένῃ δόκιμος· εἶθ' οὕτως, ἵνα μὴ ὑψηλοφρονῇς· ἐπὶ δὲ τούτοις, ἵνα εἰδῇς, ὅτι μέγαν ἐνεπιστεύθης θησαυρόν. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν προσέβαλε μάτην ὁ ἐχθρός. ἔνθα γὰρ ἴδῃ πλοῦτον, ἐκεῖ παρατάττεται.

Ἀνήχθη δὲ εἰς ἔρημον ἄβατον, ὃ δηλῶν ὁ μάρκος, εἴρηκεν, ὅτι m) καὶ ἦν ἐκεῖ μετὰ τῶν m) Marc. 1, 13.
θηρίων, ἔνθα καὶ μᾶλλον ὁ πόλεμος. τότε γὰρ ἐπιτίθεται μᾶλλον ὁ διάβολος, ὅταν ἴδῃ μεμονωμένον τὸν ἄνθρωπον, καὶ παρακλήσεως πάσης ἐστερημένον.

Verſ. 2. Καὶ — ἐπείνασεν.

Ἐνήστευσε πρῶτον, διδάσκων, ὅτι μέγα προπύργιον ἡ νηστεία τοῖς ἀνταγωνιζομένοις τῷ δαίμονι. οὐχ ὑπερέβη δὲ τὸ μέτρον, ὃ ἐνήστευσε πρὸ αὐτοῦ ἠλίας, καὶ πρὸ ἐκείνου μωϋσῆς, ἵνα μὴ ὑπερελάσας τὴν δύναμιν τῆς ἀνθρωπίνης φύσεως, ἀπιστηθῇ, ὅτι ἄνθρωπός ἐστιν. ὅθεν ὕστερον ἐπείνασε, βεβαιῶν, ὅτι ἄνθρωπός ἐστιν. ἴδιον γὰρ ἀνθρώπου τὸ ἐκ νηστείας πεινᾷν. περιττὸν δὲ δοκεῖ, τὸ περὶ τῶν νυκτῶν. οἶμαι δὲ διὰ τὰς νηστείας τῶν ἑβραίων τοῦτο προστεθῆναι, οἳ τὰς ἡμέρας νηστεύοντες, ἐν ταῖς νυξὶν ἐσθίουσιν. ὁ δὲ μάρκος καὶ ὁ λουκᾶς παρῆκαν τὰς νύκτας, ὡς νοουμένας.

Verſ. 3. Καὶ — γένωνται.

Ὁ δὲ μάρκος καὶ ὁ λουκᾶς εἶπον, ὅτι καὶ ἐν ταῖς τεσσαράκοντα ἡμέραις ἦν n) πειραζόμενος, ὡς n) Marc. 1, 13.
εἶναι δῆλον, ὅτι ἐν ἐκείναις μὲν πόῤῥωθεν αὐτὸν Luc. 4, 2.

nempe per somnum, per tristitiam, per ignauiam, et similia. Postquam autem ipsum esurire cognouit, iam prope ac manifeste appetiuit: idque per vitium fami conueniens puta gulam. Considera vero quid faciat. Audierat et a Ioanne, et per vocem coelitus delapsam, hunc esse Dei filium: ignorans ergo quod Dei filius carnem assumsisset: siquidem latuit eum arcanum incarnationis mysterium: Suspicatus est hominem quidem esse: a Deo tamen ob virtutes ipsius adoptatum. Itaque ei iam tantum inuidit honorem, sicut et veteri Adam: nisusque est hunc, velut illum ab ipso deiicere.

Et idcirco propius accedens, primam producit tentationem, nempe gulositatem, per quam cepit et primum Adam. Quia ergo nullus aderat cibus, eo quod desertus nimis esset locus: sciebat autem fami conuenientem esse panem: ipse quidem non adfert, eo quod ab aduersario Christus sumturus non erat: sed iubet, vt de lapidibus panes efficiat. Et ne Christus insidias agnosceret, obserua technas eius, ac malitiae magnitudinem. Non dixit simpliciter: Facito, vt isti lapides panes fiant: sed praemisit: Si filius Dei es: vt appareat, quod vt demonstretur, an filius Dei sit, petit lapidum in panes fieri transformationem. Putat enim huiusmodi verbis pungendum, tanquam rubore suffundatur, si filius Dei non esse credatur: vt ignorato dolo, lapides in panes transformet, accepta certe a Deo potestate: ac postmodum videns iam ipsos, magna attractus esurie, deiiciatur. Sed non latuit illum, qui sapientes comprehendit in astutia sua.

Vers. 4.

ʼ) τούτῳ. A.

ἐπείραζε δι' ὕπνε, δι' ἀκηδίας, διὰ δειλίας καὶ τῶν τοιέτων· ἐπεὶ δὲ ἔγνω τἔτον πεινάσαντα, λοιπὸν προσῆλθεν ἐγγὺς, καὶ φανερῶς [1]) αὐτῷ προσβάλλει διὰ τἕ ἐπιτηδείε τῇ πείνῃ πάθες, λέγω δὴ, τῆς γαςριμαργίας. καὶ σκόπει, τί ποιεῖ. ἤκεσε καὶ παρὰ τἕ ἰωάννε, καὶ παρὰ τῆς κατενεχθείσης ἄνωθεν φωνῆς, ὅτι ἕτος υἱός ἐςι τἕ θεἕ, καὶ ἀγνοῶν, ὅτι ὁ υἱὸς τἕ θεἕ ἐνηνθρώπησεν· ἔλαθε γὰρ αὐτὸν ἡ ἀπόῤῥητος αὐτἕ ἐνανθρώπησις· ὑπέλαβεν, ὅτι ἄνθρωπος ὢν, υἱοθετήθη τῷ θεῷ διὰ τὰς ἀρετὰς αὐτἕ, καὶ λοιπὸν ἐφθόνησεν αὐτῷ τῆς τηλικαύτης τιμῆς, ὥσπερ καὶ τῷ παλαιῷ ἀδὰμ, καὶ ἔσπευσεν ἐκβαλεῖν καὶ τἕτον ταύτης, ὡς ἐκεῖνον ἐκείνης.

Διὸ καὶ προσελθὼν ἐγγὺς, πρώτην προσάγει πεῖραν, τὴν γαςριμαργίαν, δι' ἧς εἷλε καὶ τὸν πρῶτον ἀδάμ· καὶ ἐπεὶ ἐδαμἕ βρῶσις ἦν, διὰ τὴν ἄγαν ἐρημίαν, ἐγίνωσκε δὲ τῇ πείνῃ τὸν ἄρτον εἶναι κατάλληλον, αὐτὸς μὲν ἐ προσφέρει, διότι ἐκ ἔμελλεν αὐτὸν παρὰ τοῦ πολεμίου λαβεῖν ὁ χριςὸς, ἐπιτάττει δὲ αὐτῷ, ποιῆσαι τὲς ὑποδεικνυμένες λίθες, ἄρτες· καὶ ἵνα μὴ νοήσῃ τὴν ἐπιβελὴν ὁ χριςὸς, ὅρα μηχανὴν καὶ πονηρίας ὑπερβολήν· ἐκ εἶπεν ἁπλῶς, ὅτι ποίησον τὲς λίθες ἄρτες, ἀλλὰ προέταξε τὸ, εἰ υἱὸς εἶ τἕ θεἕ, ἵνα δόξῃ, ὅτι πρὸς ἀπόδειξιν τἕ εἶναι αὐτὸν υἱὸν θεἕ ζητεῖ γενέσθαι τὴν μεταποίησιν τῶν λίθων εἰς ἄρτες. ᾤετο γὰρ, ὅτι παρακινηθήσεται τῷ λόγῳ, καθάπερ ὀνειδισθεὶς ἐπὶ τῷ μὴ εἶναι υἱὸς θεἕ, καὶ ἀγνοῶν τὸν δόλον, μεταβαλεῖ τὲς λίθες εἰς ἄρτες, ὡς ἔχων ἐκ θεἕ δύναμιν, καὶ λοιπὸν, ἰδὼν αὐτὲς, πάνυ πεινῶν ἡττηθήσεται τῆς γαςρός· ἀλλ' ἐκ ἔλαθε τὸν [o]) δρασσόμενον τὲς σοφὲς ἐν τῇ πανεργίᾳ αὐτῶν.

o) Iob. 5, 13 1 Cor. 3, 19.

Verſ. 4. *Qui — Dei.*

Intellecta illius aſtutia, ſignum non edidit requiſitum. Nam ſigna ad commodum intuentium fieri conſueuerunt: diabolus autem nullam inde relaturus erat vtilitatem. Etenim neque viſis poſtmodum omnibus quae fecit Chriſtus, in aliquo mutatus eſt. Sed ad occultam ipſius reſpondet cogitationem: et ex libri Deuteronomii ſcriptura ei ſilentium imponit: ac ſi diceret: Ad quid mihi opus eſt panes ex lapidibus facere, propter famem quae me vrget, vt illis viſis alliciar eſca? Atqui non ſolo pane hominum vita ſeruari poteſt, ſed et alio praeterea cibi genere. Omne ſiquidem verbum ab ore Dei egrediens ad eum, qui fame premitur, loco cibi vitam eius ſuſtinet, et ſufficit ei. Ita ſane gaſtrimargiae dolum longanimitate ac tolerantia repulit. Obſeruandum vero Matthaeum pluraliter lapides dicere: Lucam vero lapidem ſingulariter. Frequenter enim apud Euangeliſtas huiusmodi, quae nihil officiant, diuerſitates reperies.

† A veteri teſtamento depromptum eſt. Eſt enim verbum Moſis. Nam et Hebraei manna comederunt: quod quum non eſſet panis, omnem tamen eorum ſupplebat indigentiam: mutatum in omnia quae optabat quisque edere, ſiue piſcem, ſiue ouum, ſiue caſeum concupiſceret Iudaeus, illius guſtum manna ei praebebat.

Verſ. 5. *Tunc — ciuitatem.*

Aſſumit, hoc eſt, aſſumendo ducit. Permiſit enim inimico ducere ſe quo luberet, et pugnare ſicut

*) i. e. μὴ δέον παρατηρήσεως ἀκριβεστέρας.

Verſ. 4. Ὁ δὲ ἀποκριθεὶς — θεȣ͂.

Συνεὶς τὴν πανȣργίαν αὐτȣ͂, τὸ μὲν ἐπιζητηθὲν σημεῖον ȣ̓κ ἐποίησε· διότι τὰ σημεῖα δι' ὠφέλειαν τῶν ὁρώντων εἴωθε γίνεσθαι, ὁ δὲ διάβολος ȣ̓δὲν ἔμελλεν ἐντεῦθεν ὠφεληθῆναι· καὶ γὰρ ὕστερον, ἰδὼν πάντα, ὅσα ἐποίησεν ὁ χριστὸς, ȣ̓δὲν μετεβλήθη. πρὸς δὲ τὸν κεκρυμμένον αὐτȣ͂ σκοπὸν ἀπολογεῖται, καὶ ἀπὸ τῆς ἐν τῇ βίβλῳ τȣ͂ δευτερονομίȣ p) γραφῆς ἐπιστομίζει αὐτὸν, ὡσανεὶ λέγων, τί μοι ποιεῖν ἄρτȣς ἐκ λίθων ἐπιτάττεις; πάντως διὰ τὴν συνέχȣσάν με πεῖναν, ἵνα φανέντων δελεασθῶ; ἀλλ' ȣ̓κ ἐπ' ἄρτῳ μόνῳ ζῆται ἄνθρωπος, ἀλλ' ἔστι καὶ ἕτερος τρόπος τροφῆς. καὶ γὰρ πᾶν ῥῆμα, ἐκπορευόμενον διὰ στόματος θεȣ͂ ἐπὶ τὸν πεινῶντα, δίκην τροφῆς συνέχει τὴν ζωὴν αὐτȣ͂, καὶ ἀρκεῖ αὐτῷ. ȣ̔́τω μακροθύμως ἀπεκρȣ́σατο τὴν μηχανὴν τῆς γαστριμαργίας. ἀπαρατήρητον ²) δὲ τὸ, τὸν ματθαῖον μὲν λίθȣς εἰπεῖν πληθυντικῶς, τὸν δὲ λȣκᾶν q) λίθον ἑνικῶς. πολλαχȣ͂ γὰρ τῶν εὐαγγελιστῶν τοιαύτας εὑρήσεις ἀβλαβεῖς ἀδιαφορίας.

p) Deut. 8, 3.

q) Luc. 4, 3.

†† Ἀπὸ ³) τῆς παλαιᾶς ἐστὶν ἡ μαρτυρία. μωϋσέως γὰρ ὁ λόγος. καὶ γὰρ καὶ οἱ ἑβραῖοι τῷ μάννα ἐτράφησαν, ȣ̓κ ἄρτῳ ὄντι, ἀλλὰ διὰ ῥήματος θεȣ͂ πᾶσαν χρείαν τῶν ἑβραίων πληρȣ͂ντι, καὶ πάντα γινομένῳ, ὅσα ἂν φαγεῖν τις ἐπεθύμει. εἴτε γὰρ ἰχθύος, εἴτε ὠȣ͂, εἴτε τυρȣ͂ ἐπεθύμει ὁ ἰȣδαῖος, τοιαύτην γεῦσιν παρεῖχεν αὐτῷ τὸ μάννα.

Verſ. 5. Τότε — πόλιν.

Παραλαμβάνει, ἀντὶ τȣ͂, παραλαβὼν ἄγει. καὶ γὰρ ἀφῆκε τὸν ἐχθρὸν ἄγειν αὐτὸν, ὅπȣ θέλει.

3) Haec in neutro meorum comparent. Sumta ſunt ex Theophyl. p. 20.

ſicut vellet: vt vndequaque victus, ſolus aufugeret. Sanctam autem ciuitatem vocat Ieruſalem, vtpote a Deo delectam, et ideo in reuerentia habitam: aut eo quod ſanctum haberet templum.

Verſ. 5. *Et — templi.*

Pinnaculum domuncula erat excelſa valde, ad latus templi ſuperſtructa.

Verſ. 6. *Et — pedem tuum.*

Prima victus tentatione, ad ſecundum procedit certamen: et per vanam gloriam ipſum nititur attrahere: ideoque iubet, vt ſeipſum praecipitet ac ſeruet. Vtque ipſum rurſus pungat: praemittit iterum: ſi filius Dei es: quaſi denuo videatur hoc ſignum ad hoc procedere, vt ſe filium Dei eſſe demonſtret, quanquam id prius non fecerit: putabat nempe facilius illi poſſe perſuaderi: et ſi non ob aliud, at ſaltem propter illos, qui eum mirabilia operantem viſuri erant: tunc enim multi inferius aderant: et ita in expaſſam vanae gloriae naſſam incideret: vtpote ſeipſum idcirco praecipitando, vt ab eis laudaretur. Ipſum quoque Dauidica attrahit ſcriptura: vt videretur etiam a ſcriptura diuina veriſimiliter perſuadere. Verum hi eius doli Chriſtum nequaquam latuerunt.

Verſ. 7. *Dixit — Deum tuum.*

Tentat autem Deum, qui nulla inſtante neceſſitate ſeipſum in manifeſtum praecipitat periculum ob habitam in Deum fiduciam.

Verſ. 8

λει, καὶ πολεμεῖν, ὡς βέλεται, ἵνα πανταχόθεν ἡττηθεὶς, μόνος δραπετεύσῃ. ἁγίαν δὲ πόλιν λέγει, τὴν ἱερουσαλὴμ, ὡς τῷ θεῷ ἀφωρισμένην, καὶ διὰ τοῦτο σεβασμίαν· ἢ ὡς τὸν ἅγιον ναὸν ἔχουσαν.

Verſ. 5. Καὶ — ἱεροῦ.

Τὸ πτερύγιον, οἰκοδόμημα ἦν ὑψηλὸν ἄγαν, παρῳκοδομημένον τῇ πλευρᾷ τοῦ ἱεροῦ, ἤτοι τοῦ ναοῦ.

Verſ. 6. Καὶ — πόδα σου.

Ἡττηθεὶς τὴν πρώτην πεῖραν, ἐπὶ δεύτερον ἀγῶνα χωρεῖ, καὶ διὰ κενοδοξίας ἑλεῖν αὐτὸν ἐπιχειρεῖ. διὸ καὶ ἐπιτάττει, κατακρημνίσαι ἑαυτὸν καὶ διασωθῆναι. ἵνα δὲ παρακινήσῃ πάλιν αὐτὸν, πάλιν προτάττει τὸ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, ὡς ἂν δόξῃ πάλιν ζητεῖν καὶ τοῦτο τὸ σημεῖον, εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ, ἅτε τοῦ προτέρου μὴ γεγονότος. ᾤετο γὰρ, ὅτι ῥᾷον πεισθήσεται, εἰ καὶ μὴ δι' ἕτερον, ἀλλά γε διὰ τοὺς μέλλοντας αὐτὸν ὁρᾷν οὕτω τερατουργοῦντα· πολλοὶ γὰρ ἦσαν τότε κάτω παρόντες· καὶ λοιπὸν περιπεσεῖται τῷ ὑφαπλωθέντι δικτύῳ τῆς κενοδοξίας, ὡς τοῦ ἐπαινεθῆναι παρ' αὐτῶν ἕνεκεν κάτω βαλὼν ἑαυτόν. ἐφέλκεται δὲ τοῦτον καὶ ἀπὸ τῆς δαυϊτικῆς γραφῆς, ἵνα δόξῃ καὶ αὐτὸς ἀπὸ γραφῆς πεῖθειν ἀξιοπίστως· ἀλλ' οὐδ' ἐνταῦθα λέληθε κακουργῶν.

Verſ. 7. Ἔφη — θεόν σου.

Γέγραπται ἐν τῷ δευτερονομίῳ r) καὶ τοῦτο. ἐκπειράζει δὲ τὸν θεὸν, ὁ μηδεμιᾶς ἀνάγκης ἐπικειμένης ἐπιῤῥίπτων ἑαυτὸν εἰς προφανῆ κίνδυνον, ἐν τῷ θαῤῥεῖν τῷ θεῷ.

r) Deut. 6, 16.

Verſ. 8.

Verſ. 8. *Iterum* — V. 9. *adoraueris me.*

Superuacuum fuiſſet nomen adſcribi montis: quae enim fuiſſet inde conſequuta vtilitas? Interim fruſtratus ſecundo quoque impetu inimicus, ad tertium inſuper praeparatur, et per auaritiam quam nouiſſimam ſeruabat, vtpote periculoſiorem, deiicere conatur: et in montem ducit excelſum valde: ac digito ei demonſtrat, *in momento temporis* quod etiam addidit Lucas, hoc eſt, in paruo tempore, partes orbis, in quibus mundi regna ſita erant, dicens, in hac quidem parte poſitum eſt regnum Romanorum: in iſta vero Perſarum: et in illa Aſſyriorum, ac pari modo de caeteris. Et item: Hoc praecipuam habet gloriam, ſi formas ſpectas ac ſpecies: aliud vero in aliis: et vt ſemel dicam, omnia recenſet. Deinde ait: *Haec omnia tibi dabo*: puta quae in regnis mundi continentur, *ſi proſtratus adoraueris me.* Quomodo o doloſe tot ac talia commutas vnica adoratione? Vtique:, vt vbi praecepti facilitate deceperis auaritiae hamo eum transfigas, videlicet quum amore poſſidendi regnorum diuitias te adorauerit. Manifeſtius autem ait Lucas, dixiſſe ei diabolum: *Tibi dabo poteſtatem hanc vniuerſam et gloriam eorum: quia mihi tradita eſt, et cuicumque volo do eam: tu igitur ſi pronolutus coram me adoraueris, erunt tua omnia.* Matthaeus quidem haec praeteriit tanquam non neceſſaria: Lucas vero addidit, quia hoc loco dicta.

Pleras-

4) intell. τῶν χρημάτων καὶ πραγμάτων.

5) παραδίδοται. B.

Verſ. 8. Πάλιν — V. 9. προσκυνήσῃς με.

Περιττὸν ἦν, ἀναγραφῆναι καὶ τὸ ὄνομα τοῦ ὄρους. ποία γὰρ ἐκεῖθεν ὠφέλεια; τέως δ' οὖν, ἀποτυχὼν καὶ τῆς δευτέρας προσβολῆς ὁ ἐχθρὸς, καὶ εἰς τρίτην παρασκευάζεται, τὴν διὰ φιλαργυρίας, ἣν καὶ τελευταίαν ἐτήρησεν, ὡς χαλεπωτέραν. καὶ ἀνάγει αὐτὸν εἰς ὄρος ὑψηλότατον, καὶ τῷ δακτύλῳ δείκνυσιν αὐτῷ, ἐν s) στιγμῇ χρόνου, καθὼς προσέθηκεν ὁ λουκᾶς, τουτέστιν, ἐν βραχεῖ καιρῷ, τὰ μέρη τῆς οἰκουμένης, ἐν οἷς ἔκειντο αἱ βασιλεῖαι τοῦ κόσμου, λέγων· ἐν τούτῳ μὲν τῷ μέρει κεῖται ἡ βασιλεία τῶν ῥωμαίων, ἐν τούτῳ δὲ, ἡ τῶν περσῶν, ἐν ἐκείνῳ δὲ, ἡ τῶν ἀσσυρίων, καὶ τὰ ἑξῆς ὁμοίως· καὶ ὅτι ἡ μὲν ἔχει δόξαν ἐπὶ τοῖσδε τοῖς εἴδεσιν, 4) ἡ δὲ ἐπὶ τοῖσδε, καὶ ἄλλη, ἐπ' ἄλλοις, καὶ ἁπλῶς πάντα καταλέγει. εἶτα φησὶ, ταῦτα πάντα σοὶ δώσω, δηλαδὴ τὰ τῶν βασιλειῶν τοῦ κόσμου, ἐὰν πεσὼν προσκυνήσῃς με. πῶς, ὦ δόλιε, τὰ τοσαῦτα καὶ τοιαῦτα προσκυνήματος ἑνὸς ἀπεμπολεῖς; πάντως, ἵνα, τῇ εὐκολίᾳ τοῦ ἐπιτάγματος ἀπατήσας, περιπείρῃς αὐτὸν τῷ ἀγκίστρῳ τῆς φιλαργυρίας, ὡς ἔρωτι τοῦ κτήσασθαι τὸν πλοῦτον τῶν βασιλειῶν προσκυνήσαντά σε. πλατύτερον δὲ φησιν ὁ λουκᾶς, ὅτι εἶπεν αὐτῷ ὁ διάβολος, σοὶ t) δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, 5) καὶ ᾧ ἐὰν θέλω, δίδωμι αὐτήν. σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πᾶσα. ὁ μὲν οὖν ματθαῖος ταῦτα παρέλειψεν, ὡς οὐκ ἀναγκαῖα· ὁ δὲ λουκᾶς προσέθηκεν αὐτὰ, ὡς τηνικαῦτα ῥηθέντα. πολλὰς δὲ τοιαύτας παραλείψεις καὶ προσθήκας ἐν τοῖς εὐαγγελισταῖς εὑρήσεις, καὶ ἐπὶ πασῶν ἔχε λύσιν τὰς δηλωθείσας αἰτίας.

s) Luc. 4, 5.

t) Luc. 4, 6. 7.

[Ἡ

Plerasque autem huiusmodi omissiones ac additiones apud Euangelistas reperies, et in omnibus pro solutione praedictas adhibe causas.

Vers. 10.* Tunc — solum coles.

Hoc quoque in Deuteronomio scriptum est. Considera vero quod in prioribus quidem tentationibus patienter responderit: vbi autem vidit ipsum impudenter Dei ad se adorationem attrahere, diuinumque expetere honorem: tunc ipsum increpauit, dicens: *Abi satana*, hoc est, recede aduersarie. Lucas vero scripsit, *Abi post me satana*, hoc est, e conspectu meo te aufer, quod enim post aliquem ponitur, ipsi non apparet. Neque sustinuit, vt mendacii argueret dicentem, omnia sibi tradita esse: sed denuo ipsum a scriptura repulit: et versuto flagellum facta est increpatio, neque enim amplius tolerauit.

Et ideo Matthaeus quidem postremam scripsit auaritiae tentationem: Lucas autem potius vanae gloriae: quia Matthaeus sane etiam ordinis tentationum curam habuit: Lucas vero solius narrationis earum. In quo ergo a tentationibus saluatoris instituemur? Vt certe inimico nunquam fidem habeamus: ne si vtilia quidem ac necessaria iubeat. Siquidem per ea, quae commoda sunt, adulatur: finit vero in malum. Vtque nec pro-

6) Haec in vtroque Codice leguntur in margine ac referuntur ad vocabulum στιγμῆς, quod e Luca laudatur in scholio proximo.

7) Chrysost. T. VII. p. 172. A. B. hunc locum interpretans, bis habet ὀπίσω μου. Sed ista vocabula non tam Chrysostomi, quam Codicum auctoritate nituntur. Nam Chrysostomus saepius diuersa

[Ἡ [6]) χρονικὴ στιγμὴ τῆς ἀστρονομίας, ἢ πάνυ τι βραχὺ διάστημα κέκτηται. ἤρκει ἓν εἰς μόνον τὸ δεῖξαι τὰ μέρη τῆς οἰκουμένης, ἐν οἷς ἔκειντο αἱ βασιλεῖαι, καὶ εἰς τὸ εἰπεῖν ὀλίγα περὶ τῆς δόξης αὐτῶν.]

Verſ. 10. Τότε — μόνῳ λατρεύσεις.

Καὶ τοῦτο ἐν τῷ δευτερονομίῳ [v]) γέγραπται. σκόπει δὲ, ὅτι ἐπὶ μὲν τοῖς προλαβοῦσι πειρασμοῖς μακροθύμως ἀπεκρίνετο, ὅτε δὲ εἶδεν αὐτὸν τὴν τοῦ θεοῦ προσκύνησιν εἰς ἑαυτὸν ἀναισχύντως ἕλκοντα, καὶ θεοῦ τιμὴν ἀπαιτοῦντα, τότε ἐπετίμησεν αὐτῷ εἰπὼν, ὕπαγε 7) σατανᾶ, τουτέστιν, ἀναχώρει ἀντικείμενε. ὁ δὲ [x]) λουκᾶς, ὕπαγε ὀπίσω μου, ἔγραψεν, ὅ ἐστιν ἀφανίσθητι. ὁ γὰρ ὀπίσω τινὸς γενόμενος, οὐ φαίνεται αὐτῷ. οὐκ ἠνέχετο δὲ ἐλέγξαι αὐτὸν ψευσάμενον, ὅτι ὁ κόσμος αὐτῷ παραδέδοται, ἀλλὰ πάλιν ἀπὸ τῆς γραφῆς αὐτὸν καταισχύνει. καὶ λοιπὸν μάστιξ τῷ πονηρῷ γέγονεν ἡ ἐπιτίμησις. οὐκέτι γὰρ ἐκαρτέρησε.

v) Deut. 6, 13.

x) Luc. 4, 8.

Καὶ διατί ματθαῖος μὲν τελευταῖον ἔγραψε τὸν πειρασμὸν τῆς φιλαργυρίας, ὁ δὲ λουκᾶς μᾶλλον τὸν τῆς κενοδοξίας; διότι ματθαῖος μὲν καὶ τῆς τάξεως τῶν πειρασμῶν ἐφρόντισε· λουκᾶς δὲ μόνης τῆς διηγήσεως αὐτῶν. τί οὖν ἀπὸ τῶν πειρασμῶν τοῦ σωτῆρος παιδευόμεθα; τὸ μὴ πείθεσθαι τῷ ἐχθρῷ μηδέποτε, μηδὲ εἰ χρήσιμα καὶ ἀναγκαῖα ἐπιτάττει. σαίνει μὲν γὰρ τῷ χρηστῷ, τελευτᾷ δὲ εἰς πονηρόν· 8) τὸ μὴ διὰ λιμὸν ἢ τοιαυ-

uerſa loca inuicem iungit. Ὀπίσω μου, vt ad h. l. docui, expulſum eſt auctoritate Origenis, quem vide T. III. p. 540.

8) Etiam haec pendent ex ſuperioribus, τί — παιδευόμεθα;

propter famem, aliamue vrgentem necessitatem, faciamus daemonis voluntatem, sed ad Deum confugiamus: ne Deum tentemus, neque diabolo signa petenti intendamus. Haec enim occultato, sub eis dolo, postulat. Quidam autem dicunt diabolum Christo demonstrasse omnia regna mundi, et gloriam eorum: non ad sensum localiter, sed ad intellectum designando. Hoc autem dixerunt propter id, quod scriptum est, haec in momento temporis demonstrasse.

Vers. 11. *Tunc — diabolus.*

Lucas autem scripsit, quod completa omni tentatione, diabolus abscessit ab eo vsque ad tempus. Apparet autem tres enumeratas tentationes, capita omnium esse tentationum. Ab his namque caeterae omnes oriuntur, vt qui hos deuicerit affectus, contra omnes victoriam obtineat. Quod autem additur: *Vsque ad tempus*, significat, vsque ad Iudaeorum insidias. Tunc enim rursum oppugnabit, non per seipsum, sed per Iudaeos, tanquam per organa quaedam.

† Tres tentationes sustinuit Dominus, nempe gulae, vanae gloriae, et auaritiae. Sunt etenim haec omnium malorum affectuum capita: qui has deuicerit, in multis quoque aliis magis victor euadet. Lucas itaque dicit, quod omnem compleuerit tentationem, eo quod tentationum capita consummauit. Quod autem etiam angeli ei ministrant, significat nobis quoque angelos post victoriam ministraturos. Omnia siquidem propter

9) Haec in nullo meorum reperiuntur. Repetita sunt ex Theophylact. p. 23. B.

τοιαύτην ἄλλην ἀνάγκην ποιεῖν θέλημα τῦ δαίμονος, ἀλλὰ καταφεύγειν ἐπὶ τὸν θεόν· τὸ μὴ ἐκπειράζειν τὸν θεὸν, καὶ τὸ μὴ προσέχειν τῷ διαβόλῳ σημεῖα ζητῦντι. δόλον γὰρ τῦτοις ἐναποκρύψας αἰτεῖ. τινὲς δέ φασι, τὸν διάβολον ὑποδεῖξαι τῷ χριστῷ πάσας τὰς βασιλείας τοῦ κόσμυ καὶ τὴν δόξαν αὐτῶν, ὐ κατ' αἴσθησιν τοπικῶς, ἀλλὰ κατὰ διάνοιαν ὑπογραφικῶς. τοῦτο δὲ εἶπον, διὰ τὸ ἐν στιγμῇ χρόνου ταύτας ὑποδεῖξαι.

Verſ. 11. Τότε — διάβολος.

Ὁ δὲ λυκᾶς ἔγραψεν, ὅτι καὶ y) συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτῦ ἄχρι καιρῦ. καὶ φαίνεται, ὅτι οἱ ἀπαριθμηθέντες τρεῖς πειρασμοὶ, κεφάλαια πάντων εἰσὶ τῶν πειρασμῶν. ἐκ τύτων γὰρ καὶ οἱ ἄλλοι πάντες ἀπογεννῶνται, καὶ ὁ τὰ πάθη ταῦτα νικήσας, ἔχει κατὰ πάντων τὰ νικητήρια. τὸ δὲ ἄχρι καιρῦ, σημαίνει, ὅτι μέχρι τῆς παρὰ τῶν ἰυδαίων ἐπιβυλῆς. τότε γὰρ πάλιν προσέβαλεν, ὐ δι' ἑαυτῦ, ἀλλὰ διὰ τῶν ἰουδαίων, ὡς δι' ὀργάνων τινῶν. y) Luc. 4, 13.

†† Τὺς τρεῖς 9) πειρασμὺς [1]) ἐνίκησεν ὁ κύριος, τὸν τῆς γαστριμαργίας, τὸν τῆς κενοδοξίας καὶ τὸν τῆς φιλοχρηματίας, ἤγυν φιλοπλυτίας. οὗτοι γάρ εἰσιν οἱ ἄρχοντες τῶν παθῶν. τύτυς ὖν νικήσας, καὶ τὺς ἄλλυς πολλῷ μᾶλλον. ὅθεν ὁ λυκᾶς φησὶν, ὅτι πάντα z) πειρασμὸν ἐτέλεσε. ὅτι δὲ ἄγγελοι διακονῦσιν αὐτῷ, δείκνυσιν, ὅτι καὶ ἡμῖν μετὰ τὴν νίκην ἄγγελοι ὑπηρετοῦσι. πάντα γὰρ δι' ἡμᾶς καὶ ποιεῖ καὶ δείκνυσιν ὁ χριστὸς, z) Luc. 4, 13.

[1]) ὑπέμεινεν videtur legiſſe Hentenius.

pter nos et facit, et ostendit dominus, qui velvti Deo semper angeli ministrant.

Vers. 11. *Et — ministrabant ei.* [z]

Tempore quidem tentationum non permisit eos apparere, ne praedam perderet: postquam autem aduersarium propria deuicit authoritate, ac fugere coëgit, tunc iam apparent: vt noueris, quod postquam in modum eius viceris, et te suscipient ac stipabunt angeli.

Vers. 12. *Quum audisset — Galilaeam.*

Postquam audisset quod in carcerem traditus esset ab Herode tetrarcha, sicut in sequentibus dicturus est.

Secessit autem instruens nos, vt tentationes fugiamus. Neque enim vitium est, seipsum periculo non obiicere: sed vbi inciderit, non stare viriliter. In Galilaeam vero abit, simul quidem vt compleretur, quae de ea scribitur prophetia, sicut inferius dicetur: vtque inde piscatores piscaretur, apostolos dico, qui ibi morabantur. Vnde et angeli subleuato in coelum Christo, Galilaeos, appellauerunt eos, dicentes: Viri Galilaei quid statis aspicientes in coelum.

Vers. 13. *Et — Nephtalim.*

Relicta, hoc est, praeterita: tunc enim non est ingressus Nazareth.

Vers. 14.

[z]) Chrysost. Tom. VII. p. 172. E. ὥστε μὴ ταύτῃ σοβῆσαι τὴν ἄγραν, eodem sensu. Ἄγραν autem intelligit, τὴν προσαγομένην παρὰ τοῦ διαβόλου.

χριςὸς, ἐπεὶ αὐτῷ, ὡς θεῷ, ἀεὶ οἱ ἄγγελοι ὑπουργοῦσιν.

Verſ. 11. Καὶ — διηκόνουν αὐτῷ.

Ὅτε μὲν οἱ ἀγῶνες ἦσαν, οὐκ εἴασεν αὐτοὺς φαίνεσθαι, ἵνα μὴ [2]) ἀπολέσῃ τὴν ἄγραν· ὅτε δὲ τὸν ἀνταγωνιςὴν ἐνίκησε κατὰ κράτος, καὶ φυγεῖν παρεσκεύασε, τότε φαίνονται λοιπὸν, ἵνα μάθῃς, ὅτι καὶ σὲ μετὰ τὰς [3]) κατ᾽ ἐκείνου νίκας, ἄγγελοι δέξονται καὶ δορυφορήσουσιν.

Verſ. 12. Ἀκούσας — γαλιλαίαν.

Ἀκούσας, ὅτι παρεδόθη εἰς τὸ δεσμωτήριον ὑπὸ ἡρώδου τοῦ τετράρχου, καθὼς ἐρεῖ προϊών.

Ἀνεχώρησε δὲ, παιδεύων ἡμᾶς, φεύγειν τοὺς πειρασμούς. οὐκ ἔςι γὰρ ἔγκλημα, τὸ μὴ ἐπιῤῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, ἀλλὰ τὸ, ἐμπεσόντα μὴ ςῆναι γενναίως. εἰς τὴν γαλιλαίαν δὲ ἄπεισιν, ἅμα μὲν, ἵνα πληρωθῇ ἡ περὶ αὐτῆς προφητεία, ὡς ῥηθήσεται· ἅμα δὲ, ἵνα ἐκεῖθεν ἁλιεύσῃ τοὺς ἁλιεῖς, λέγω δὴ τοὺς ἀποςόλους. ἐκεῖ γὰρ διέτριβον. καὶ γὰρ καὶ οἱ ἄγγελοι ὕςερον, εἰς οὐρανὸν ἀναλαμβανομένου τοῦ χριςοῦ, γαλιλαίους αὐτοὺς ἐκάλεσαν, εἰπόντες, ὅτι ἄνδρες [a]) γαλιλαῖοι, τί ἑςήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν. a) Act. 1, 11.

Verſ. 13. Καὶ — νεφθαλείμ.

Καταλιπὼν, ἀντὶ τοῦ, παραδραμών. τότε γὰρ οὐκ εἰσῆλθεν εἰς τὴν ναζαρέτ.

3) κατὰ, omittit. A.

V. 14. *Vt compleretur* — V. 16. *eis.*

Galilaea quidem regio erat Palaestinae. Olim autem data est in sortem duabus tribubus Zabulon et Nephthalim: partem tamen eius inhabitabant gentes alienigenae. Et videtur horum prophetícorum verborum ordo difficilis, tum propter defectum quorundam, tum propter ignoratum eorum intellectum. Ego tamen a prophetico libro illum requirens, intellexi quomodo ea ordinare oporteat: nempe ita conuenit. 'O terra Zabulon, et o terra Nephthalim (intelligit autem Galilaeam, sicut dictum est) et o vos qui circa viam maris, id est, circa mare Galilaeae habitatis: et o vos qui trans Iordanem: et o Galilaea gentium. (Vocat autem Galilaeam gentium, eam Galilaeae partem, quam gentes incolebant.) Deinde comprehendens omnes, qui in praedictis locis habitabant, res illis salutares denuntiauit, dicens: Populus qui sedebat in tenebris vidit lucem magnam, etc. Et tenebras vocauit errorem. Errabant enim: Iudaei quidem circa scripturas, gentes vero circa cultum diuinum.

Lucem autem magnam Christum nominauit, qui frequenter lux vera appellatur: ipse etenim hos ab errore eduxit, illustrans eos in modum lucis. Deinde iterum huiusmodi tenebras interpretatur regionem mortis, et vmbram mortis, his vocans nominibus, quia sicut mortis regio ac vmbra, est sepulchrum: regio quidem, quasi locus, vmbra vero, quasi tenebrae. Nam tenebrae vmbra est: Ita et mortis spiritualis regio ac vmbra, erat ille error: regio sane, veluti more sepulchri eos continens, qui in ipsum

4) Sic vterque Codex etiam in textu, pro vulgari *εἶδε.*

V. 14. Ἵνα πληρωθῇ — V. 16. αὐτοῖς.

Ἡ γαλιλαία, χώρα μὲν ἦν τῆς παλαιςίνης, ὡς προειρήκαμεν· ἐκληροδοτήθη δὲ πάλαι ταῖς δυσὶ φυλαῖς, τῇ τȣ̃ ζαβȣλὼν, καὶ τῇ τȣ̃ νεφθαλεὶμ· μέρος δὲ αὐτῆς ἔθνη κατῴκȣν ἀλλόφυλα. καὶ δοκεῖ μὲν ἡ τῶν προφητικῶν τȣ́των ῥητῶν σύνταξις δυσχερὴς, διά τε τὸ ἐλλείπειν τινὰ, καὶ διὰ τὸ ἀγνοεῖσθαι τὴν ἔννοιαν αὐτῶν. ἐγὼ δὲ ταύτην ἀπὸ τῆς προφητικῆς βίβλȣ διαγνȣ̀ς, ἔγνων, πῶς χρὴ ταῦτα συντάττειν. προσήκει γὰρ ȣ̃τως. ὦ γῆ τȣ̃ ζαβȣλὼν, καὶ ὦ γῆ τȣ̃ νεφθαλεὶμ· λέγει δὲ τὴν γαλιλαίαν, ὡς εἴρηται· καὶ ὦ οἱ κατὰ τὴν ὁδὸν τῆς θαλάσσης, τȣτέςιν, οἱ παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας οἰκȣ̃ντες· καὶ ὦ οἱ πέραν τȣ̃ ἰορδάνου, καὶ ὦ γαλιλαία τῶν ἐθνῶν· ἐκάλεσε δὲ γαλιλαίαν τῶν ἐθνῶν, τὸ μέρος τῆς γαλιλαίας, ὃ τὰ ἔθνη κατῴκȣν· εἶτα, ἐπισυνάψας πάντας τȣ̀ς ἐν τοῖς δηλωθεῖσι τόποις, εὐηγγελίσατο τὰ σωτήρια, εἰπών· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, 4) ἴδε φῶς μέγα, καὶ τὰ ἑξῆς. καὶ σκότος μὲν ὠνόμασε, τὴν πλάνην. ἐπλανῶντο γὰρ ἰȣδαῖοι μὲν, περὶ τὰς γραφὰς, τὰ ἔθνη δὲ, περὶ τὸ σέβας.

Φῶς δὲ μέγα, τὸν χριςὸν, ὃς ἀλλαχȣ̃ b) φῶς ἀληθινὸν προσηγόρευται. καὶ γὰρ αὐτὸς τȣ́τȣς ἐξήγαγεν ἐκ τῆς πλάνης, δίκην φωτὸς αὐτοῖς ἐπιλάμψας. εἶτα πάλιν ἑρμήνευσε τὸ τοιοῦτον σκότος, χώραν θανάτου καὶ σκιὰν θανατȣ τοῦτο καλέσας. ὥσπερ γὰρ τοῦ σωματικοῦ θανάτου χώρα καὶ σκιὰ ὁ τάφος ἐςί· χώρα μὲν, ὡς τόπος· σκιὰ δὲ, ὡς σκότος· σκότος γὰρ ἡ σκιά· ȣ̃τω καὶ τȣ̃ ψυχικȣ̃ θανάτȣ χώρα καὶ σκιὰ, ἡ πλάνη ἐκείνη ἦν· χώρα μὲν, ὡς τρόπον τάφȣ συνέχȣσα τȣ̀ς ἐμπεπτωκότας αὐτῇ γενεκρωμέ-

b) Io. I, 9.

ipſum incidiſſent, mortui, quo ad ſenſum veritatis: vmbra vero, vtpote tenebris eos offundens. Ne mireris autem, ſi prophetica eloquia integre non poſuerit. Vniuerſaliter enim ſcire oportet, euangeliſtas interdum quidem integre dictorum mentionem facere: quandoque autem illa abbreuiare: et aliquando verborum quidem ſenſum integrum ſeruare: quasdam vero dictiones mutare: quando id in nullo ſermonem poteſt corrumpere.

Cap. IV. De doctrina Chriſti.

Verſ. 17. *Ex eo tempore — coelorum.*

Hoc ante ſaluatorem Ioannes praedicauit. Incipit autem etiam inde Chriſtus, vt oſtendat principium ſuum fuiſſe Ioannem, et nequaquam illi contrarium eſſe. Operae pretium enim erat, vt primum alius de eo ferret teſtimonium: et tunc veniret ipſe. Quidam autem dicunt, videri quidem eadem praedicare Chriſtum, quae Ioannes: puta, *Reſipiſcite: et inſtat regnum coelorum:* non tamen ita eſſe. Ioannes ſiquidem dixit: Reſipiſcite, propter peccata, in quibus offendiſtis. Chriſtus vero: Reſipiſcite, vt transferri mereamini a veteri teſtamento in nouum. Et Marcum pro teſte adducunt, qui addit: Et credite euangelio. Et Ioannes, inquiunt, Chriſtum vocauit regnum coelorum. Chriſtus autem coeleſtem angelicamque politiam, quam ipſe conditurus erat, vt praediximus. Marcus ſane pro regno coelorum dixit,

5) δὲ, omittit. A.

6) διδάσκειν, pro γινώσκειν. A.

κρωμένες εἰς αἴσθησιν ἀληθείας· σκιὰ δὲ, ὡς σκοτίζεσα αὐτές. εἰ 5) δὲ μὴ ἀκέραια τὰ προφητικὰ τέθεικε ῥητὰ, μὴ θαυμάσης. χρὴ γὰρ καθολικῶς γινώσκειν, 6) ὅτι οἱ εὐαγγελιςαὶ ποτὲ μὲν ἀκεραίων τῶν ῥητῶν ἀπομνημονέυεσι, 7) ποτὲ δὲ, ἐπιτέμνεσιν αὐτὰ, ποτὲ δὲ, τὴν μὲν τῶν ῥητῶν διάνοιαν ὁλόκληρον ἀποσώζεσι, λέξεις δέ τινας ἀπαρατηρήτως ὑπαλλάττεσιν, ὅταν ἐδέν τι μέλλοι τῷ λόγῳ τἕτο λυμαίνεσθαι.

Κεφ. Δ. περὶ τῆς διδασκαλίας τοῦ σωτῆρος.

Verſ. 17. Ἀπὸ τότε — ἐρανῶν.

Τἕτο πρὸ τἕ σωτῆρος ὁ ἰωάννης ἐκήρυξεν. ἄρχεται δὲ καὶ ὁ χριςὸς ἐντεῦθεν, ἵνα δείξῃ, ὅτι προοίμιον αὐτἕ ἦν ὁ ἰωάννης, καὶ ὅτι ἐκ ἔςιν ἕτος ἐναντίος ἐκείνῳ. καὶ γὰρ ἔδει πρῶτον ἄλλον μαρτυρῆσαι περὶ αὐτἕ, καὶ τότε αὐτὸν ἐλθεῖν. τινὲς δὲ λέγεσιν, ὅτι δοκεῖ μὲν ὁ χριςὸς τὰ αὐτὰ τῷ ἰωάννῃ κηρύσσειν, οἷον τὸ μετανοεῖτε, καὶ τὸ ἤγγικεν ἡ βασιλεία τῶν ἐρανῶν, ἐκ ἔςι δέ. ὁ μὲν γὰρ ἰωάννης, μετανοεῖτε ἔλεγεν, ἐφ᾽ οἷς ἡμαρτήκατε· ὁ δὲ χριςὸς, μετανοεῖτε, ἀντὶ τἕ, μεταβάλλεσθε ἀπὸ τῆς παλαιᾶς ἐπὶ τὴν καινήν. καὶ παράγεσι μάρτυρα τὸν μάρκον, προσθέντα τὸ, καὶ c) πιςεύετε ἐν τῷ εὐαγγελίῳ. καὶ ὁ μὲν ἰωάννης, φασὶ, βασιλείαν ἐρανῶν, τὸν χριςὸν ὠνόμασεν· ὁ δὲ χριςὸς, τὴν ἐράνιον καὶ ἀγγελικὴν πολιτείαν, ἣν αὐτὸς ἔμελλε νομοθετεῖν, ὡς προειρήκαμεν. ὁ μέντοι μάρκος, ἀντὶ τἕ βασιλείας τῶν

c) Marc. 1, 15.

7) μνημονεύουσι. A.

xit, regnum Dei. Intelligitur praeterea regnum Dei instare, vt super credentes regnet. Siquidem incredulorum, natura rex est filius Dei et verbum: credentium vero, vtroque modo, natura videlicet et voluntate, quum sponte gubernationem eius suscipiant.

Vers. 18. *Ambulans* — V. 20. *eum.*

Matthaeus quidem in hoc loco dicit, postquam traditus est Ioannes, hos esse Christum sequutos. Euangelista vero Ioannes, quod potius antequam traderetur. Praeterea Matthaeus asserit simul vtrumque vocasse Iesum: Ioannes autem, quod Andream quidem Iesus, Petrum vero Andreas vocauerit. Vnde manifestum est hanc secundam fuisse vocationem. Etenim quum eum sequuti fuissent ante Ioannis traditionem, rursum ad patriam reuersi sunt, artemque priorem exercuerunt: vtpote videntes Ioannem quidem traditum esse, Iesum vero secessisse. Postmodum igitur Christus, primum eis factum ignoscens, venit vt rursum eos recuperet: iubetque vt sequantur, et pro retibus quae possidebant, sumant ab eo rationalem sagenam: et in mare seculi mittentes, pro piscibus homines capiant. Et vide quomodo statim, his quae possidebant relictis, obedierunt, nihil tergiuersantes. Ita nempe vult Christus, vt cuiuis necessitati suus praeponatur discipulatus. Dixit autem: *Venite post me*, hoc est, sequimini me.

† Fratres fuerunt, qui primum a Christo docente vocati sunt: tum quia huic conuenit fraterno modo

a) καὶ λόγος ὁ υἱός. A.
b) θηρεύωσιν. B.

τῶν ἐρανῶν, ἡ βασιλεία τῦ [d]) θεῦ εἶπε. καὶ νοεῖται ἔτι, ὅτι ἤγγικεν ἡ βασιλεία τῦ θεῦ, ἵνα βασιλεύσῃ τῶν πιστευόντων. τῶν μὲν γὰρ ἀπίστων φύσει ἐστὶ βασιλεὺς ὁ υἱὸς [8]) καὶ λόγος· τῶν δὲ πιστευόντων, καὶ φύσει καὶ προαιρέσει, ἑκουσίως δεχομένων τὸ ὑπ' αὐτῦ βασιλεύεσθαι. d) Marc, 1, 15.

Verſ. 18. Περιπατῶν — V. 20. αὐτῷ.

Ματθαῖος μὲν ἐνταῦθά φησιν, ὅτι μετὰ τὸ παραδοθῆναι τὸν ἰωάννην, ἠκολέθησαν ἕτοι τῷ ἰησῦ· ὁ δ' εὐαγγελιστὴς ἰωάννης μᾶλλον, ὅτι πρὸ τοῦ [e]) παραδοθῆναι. καὶ ματθαῖος μὲν εἶπεν, ὅτι καὶ ἀμφοτέρες ὁ ἰησῦς ἐκάλεσεν· ὁ δὲ ἰωάννης, ὅτι τὸν μὲν ἀνδρέαν, ὁ ἰησῦς, τὸν δὲ πέτρον, ὁ ἀνδρέας. ὅθεν φανερὸν, ὅτι δευτέρα αὕτη ἡ κλῆσις ἦν. καὶ γὰρ ἀκολεθήσαντες αὐτῷ, πρὸ τῦ παραδοθῆναι τὸν ἰωάννην, ἐπανῆλθον πάλιν εἰς τὴν ἰδίαν πατρίδα, καὶ τὴν προτέραν τέχνην μετεχειρίζοντο, ἅτε τὸν μὲν ἰωάννην ἰδόντες παραδοθέντα, τὸν δὲ ἰησῦν ἀναχωρήσαντα. λοιπὸν ἦν ὁ χριστὸς, εὑδὼς αὐτοῖς τὸ πρῶτον, ἔρχεται πάλιν ἀνακτησόμενος καὶ κελεύει ἀκολεθεῖν, ἵνα, ἀνθ' ὧν εἶχον δικτύων, λαβόντες παρ' αὐτοῦ τὴν λογικὴν σαγήνην, καὶ βάλλοντες εἰς τὴν θάλασσαν τῦ βίε, τὲς ἀνθρώπες [*]) θηρεύσωσιν, ἀντὶ τῶν ἰχθύων. σκόπει δὲ, πῶς εὐθέως ὑπήκεσαν, καὶ ἀφῆκαν, ἃ εἶχον, μηδέν τι προφασισάμενοι. καὶ γὰρ ἕτως ὁ χριστὸς βέλεται, παντὸς ἀναγκαίε προτιμᾶν τὸ ἀκολεθεῖν αὐτῷ. δεῦτε δὲ, ὀπίσω μου, εἶπεν, ἀντὶ τοῦ ἀκολουθήσατέ μοι. e) Io. 1, 35 seq.

[Ἀδελφοὶ [1]) δύο, γεγόνασι πρώτη κλῆσις τῷ χριστῷ, διδάσκοντι καὶ διὰ τέτε τὸ προσήκειν

I 5 ἀδελ-

[*]) Incluſa, in margine habet. A.

modo gubernare: tum quia fraterno modo ſapere oporteat eos, qui ab ipſo docentur.

V. 21. *Et progreſſus* — V. 22. *eum.*

Horum quoque fidem intuere, qua patrem etiam deſpexerunt. Neceſſe enim eſt, parentibus quoque praeponere Chriſtum. Neque parua virtutis ipſorum demonſtratio eſt: quod paupertatem adeo facile tulerint, ac propriis manibus victum quaeſierint: et mutuo inter ſe amore colligati fuerint: patrem quoque vna ſecum habuerint, illique inſeruierint. Veriſimile eſt autem, audiſſe eos a Petro et Andrea, promiſiſſe Chriſtum, quod ſequentes ſe, redderet hominum piſcatores.

Verſ. 23. *Et* — *Synagogis eorum.*

In ſynagogis eorum docebat: partim quidem vt plures attraheret: partim vero ne quis dicere poſſet: quod rudes clanculo docens deciperet, palam non auſus docere.

Verſ. 23. *Et praedicans* — *regni.*

Marcus vero ſcripſit: *Regni Dei.* Eſt autem euangelium regni Dei, nouum teſtamentum: vtpote de regno Dei diſputans: aut ad regnum Dei, ipſi obedientes inducens.

Verſ. 23. *Et* — *populo.*

N*όσος* quidem (pro quo nos morbum vertimus) eſt diutina peruerſio habitudinis corporis: *μαλα-*

κία

a) Quatuor priora vocabula non agnoſcit Hentenius.

ἀδελφικῶς πολιτεύεσθαι, καὶ ἀδελφὰ φρονεῖν, τοὺς μαθητευομένους αὐτῷ]

V. 21. Καὶ προβὰς — V. 22. αὐτῷ.

Ὅρα καὶ τὴν τούτων πίστιν, δι᾽ ἣν καὶ τοῦ πατρὸς κατεφρόνησαν. χρὴ γὰρ καὶ τῶν γονέων προτιμᾷν τὸν χριστόν. οὐ μικρὰ δὲ ἀπόδειξις τῆς ἀρετῆς αὐτῶν, τὸ πενίαν φέρειν εὐκόλως, καὶ τὸ ἀπὸ τῶν οἰκείων τρέφεσθαι χειρῶν, καὶ τὸ συνδεδέσθαι ἀλλήλοις, καὶ τὸ τὸν πατέρα μεθ᾽ ἑαυτῶν ἔχειν καὶ θεραπεύειν. εἰκὸς δὲ, καὶ τούτους ἀκοῦσαι παρὰ πέτρου καὶ ἀνδρέου, ὅτι ὑπέσχετο ποιῆσαι τοὺς ἀκολουθοῦντας αὐτῷ, ἁλιεῖς ἀνθρώπων.

Verſ. 23. Καὶ — συναγωγαῖς αὐτῶν.

Περιῆγεν,[2]) ἀντὶ τοῦ, περιήρχετο. ἐν ταῖς συναγωγαῖς δὲ ἐδίδασκε· τοῦτο μὲν, ἵνα πλείονας ἐφελκύσηται· τοῦτο δὲ, ἵνα μηδεὶς ἔχοι λέγειν, ὅτι λάθρα διδάσκων τοὺς ἀμαθεῖς, ἐξαπατᾷ τούτους, μὴ θαῤῥῶν ἐν πλήθει διδάσκειν.

Verſ. 23. Καὶ κηρύσσων — βασιλείας.

Ὁ δὲ μάρκος, τῆς f) βασιλείας τοῦ θεοῦ ἔγραψεν. εὐαγγέλιον δὲ τῆς βασιλείας τοῦ θεοῦ, ἡ καινὴ διαθήκη, ὡς περὶ τῆς βασιλείας τοῦ θεοῦ διαλαμβάνουσα, ἢ ὡς εἰσάγουσα εἰς τὴν βασιλείαν τοῦ θεοῦ τοὺς πειθομένους αὐτῇ. f) Marc. 1, 14.

Verſ. 23. Καὶ — λαῷ.

Νόσος μὲν ἐστι, ἡ χρονία παρατροπὴ τῆς τοῦ σώματος ἕξεως· μαλακία δὲ, ἀρχὴ χαυνώσεως σώματος,

κία vero (quam diximus languorem) principium est laxationis corporis, morbi praenuntia. Et in corpore sane ita est. In anima autem morbus quidem est peccati actus: languor vero inductio cogitationis ad actus consensum.

Vers. 24. *Diuulgata — Syriam.*

Marcus vero dixit: *Exiuit autem rumor de eo in totam vndique regionem Galilaeae finitimam.* Lucas vero: *Et egrediebatur sonus de eo in omnem locum finitimae regionis.* Rumor autem et sonus significant famam eius. Praeterea quam dixit Matthaeus Syriam, hanc caeteri Galilaeae finitimam regionem appellauerunt. Dimanauit autem de eo fama, quod talia doceret, qualia nunquam audiuissent: et quod sermones miraculis confirmaret: quodque cum autoritate doceret ac operaretur, sicut in Marco manifestius inuenies.

Vers. 24. *Et — sanauit eos.*

Post verba illa, *variis morbis*, distinctio ponenda est. Tormina autem vocat morborum dolores. Lunatici vero tenentur affectione corruptorum humorum. Quia enim luna quum ad plenum lumen deuenerit, naturam habet per splendorem suum attractiuam humorum, qui in corporibus sunt: fit vt hi tunc turbentur. Frequens etenim ac prauus vapor ab ipsis eleuatus, cerebrum dilaniat, hominemque contorquet: quumque haec a luna patiantur, lunatici appellantur. Verum cur a nullo horum priusquam curaret, de fide requisiuit, quemadmodum postea fecit a pluribus? Quia nondum manifestam suae potentiae demon-

ματος, προάγγελος νόσου. ἀλλ᾽ οὕτω μὲν ἐπὶ σώματος. ἐπὶ δὲ ψυχῆς, νόσος μὲν, ἁμαρτίας ἐνέργεια· μαλακία δὲ, χαύνωσις λογισμοῦ, πρὸ συγκατάθεσιν ἐνεργείας.

Verſ. 24. Καὶ ἀπῆλθεν — συρίαν.

Ὁ δὲ μάρκος εἶπεν, ἐξῆλθε g) δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς γαλιλαίας. ὁ δὲ λουκᾶς, καὶ h) ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου. ἀκοὴν δὲ καὶ ἦχον, τὴν περὶ αὐτοῦ φήμην λέγουσιν. ἣν δὲ εἶπε συρίαν ὁ ματθαῖος, ταύτην εἶπον οἱ ἄλλοι περίχωρον τῆς γαλιλαίας. ἀπῆλθε δὲ ἡ περὶ αὐτοῦ ἀκοὴ, διότι τοιαῦτα ἐδίδασκεν, οἷα οὐδέποτε ἤκουσαν, καὶ ὅτι τοὺς λόγους ἐβεβαίου τοῖς θαύμασι, καὶ ὅτι ἐξουσιαστικῶς καὶ ἐδίδασκε, καὶ ἐθαυματούργει, ὡς εὑρήσεις φανερώτερον ἐν τῷ μάρκῳ.

g) Marc. 1, 28.

h) Luc. 4, 37.

Verſ. 24. Καὶ — ἐθεράπευσεν αὐτούς.

Μετὰ τὸ, ποικίλαις νόσοις, στικτέον τελείαν. βασάνους δὲ λέγει, τὰς ἀπὸ τῶν νόσων ὀδύνας. ὁ δὲ σεληνιασμὸς, πάθος ἐστὶν ἀπὸ σεσηπότων χυμῶν συνιστάμενος. ἐπεὶ γὰρ [3]) ἡ σελήνη, πλησιφαὴς γινομένη, φύσιν ἔχει, διὰ τῆς ἐκεῖθεν πεμπομένης αὐγῆς ἀνασχεῖν τὰς ἐν τοῖς σώμασιν ὑγρότητας, ταράσσονται τηνικαῦτα καὶ οὗτοι, καὶ λοιπὸν ἐξ αὐτῶν ἀτμοὺς δριμεῖς καὶ πονηροὺς ἀναφερομένους, σπαράσσει τὸν ἐγκέφαλον, καὶ διαστρέφει τὸν ἄνθρωπον. διότι δὲ ταῦτα πάσχουσιν ὑπὸ σελήνης, λέγεται σεληνιασμός. διατί δὲ παρ᾽ οὐδενὸς τούτων πρὸ τῆς θεραπείας οὐκ ἐπεζήτησε πίστιν, ὡς παρὰ πολλῶν ἄλλων ὕστερον; διότι

[3]) δὲ, pro γάρ. A.

τὴν ςέγην εἰσέλθῃς, καὶ τὰ λοιπὰ, καθὼς ὁ ματθαῖος συνεγράψατο. δῆλον οὖν, ὅτι τὰ μὲν ἄχρι τοῦ ἐλθεῖν τὸν ἑκατόνταρχον, εἶπεν ὁ λουκᾶς· τὰ δὲ ἐντεῦθεν ἐδίδαξεν ὁ ματθαῖος, καὶ ἐν ἐκείνοις γὰρ, καὶ ἐν τούτοις ἥ τε πίςις τοῦ ἑκατοντάρχου δείκνυται, καὶ ἡ θαυματουργία τοῦ ἰησοῦ. ἐπεὶ δὲ ὁ λουκᾶς εἴρηκεν· ὅτι ὑποςρέψαντες οἱ πεμφθέντες, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα· χρὴ λογίσασθαι, ὅτι ὁ μὲν ἑκατόνταρχος ἤδη πληροφορίαν περὶ τῆς ὑγείας αὐτοῦ λαβὼν, σχολαιότερον ἐβάδιζεν· ἐκεῖνοι δὲ δυσπιςοῦντες προέδραμον, γλιχόμενοι μαθεῖν, εἰ ὑγίανε.

Κεφ. Η. Περὶ τῆς πενθερᾶς πέτρου.

V. 14. Καὶ ἐλθὼν — V. 15. αὐτῷ.

Ὁ δὲ μάρκος g) καὶ ὁ h) λουκᾶς εἶπον, καὶ πόθεν ἦλθεν ἐκεῖ, ὅτι ἀπὸ τῆς συναγωγῆς τῶν ἰουδαίων, ἐν ᾗ ἐδίδασκε, σαββάτου ὄντος. προσέθηκε δὲ ὁ μάρκος, ὅτι μετὰ ἰακώβου καὶ ἰωάννου ἦλθεν. εἰκὸς γὰρ, τὸν πέτρον, μαθόντα τοῦτο, προδραμεῖν. καὶ μάρκος μὲν καὶ λουκᾶς φασὶν, ὅτι παρεκάλεσαν αὐτὸν οἱ μαθηταὶ περὶ τῆς κατακειμένης· ὁ ματθαῖος δὲ, καὶ τοῦτο ἐσίγησεν. οὐκ ἔςι δὲ τοῦτο διαφωνίας· ἀλλὰ τὸ μὲν ἐκείνων, ἀκριβείας· τὸ δὲ τούτου, συντομίας. εἰσῆλθε δὲ τροφῆς μεταληψόμενος, ἤδη τοῦ καιροῦ καλοῦντος. ἐγερθεῖσα γὰρ ἡ κειμένη διηκόνει αὐτῷ.

g) Marc. 1, 29.
h) Luc. 4, 38.

Σὺ δέ μοι θαύμασον τὴν συγκατάβασιν τοῦ δεσπότου, πῶς οὐκ ἀπηξίωσεν εἰσελθεῖν εἰς φαύλην οἰκίαν ἁλιέως, ἅμα μὲν τιμῶν τὸν μαθητὴν, ἅμα δὲ διδάσκων ἡμᾶς, μὴ κενοδοξεῖν. ἁψάμενος

δὲ

gloriae ſtudeamus. Quum autem manu illam tetigiſſet, non ſolum febrim extinxit, verum etiam integram ei tradidit ſanitatem. Surrexit enim, et continuo miniſtrabat. Atqui ablata etiam febri, laborantibus longo opus eſt tempore, vt priorem recipiant ſanitatem. In mari quoque non ſolum tempeſtatem ſedauit, ſed etiam fluctuum commotionem cohibuit, quum tamen poſt tempeſtatem diutius maneat aquarum commotio. Ita enim nouit Chriſtus, ſimul et quod aegritudine affectum eſt ſoluere, et in priorem ſtatum reponere.

Cap. IX. De curatis a variis infirmitatibus.

Verſ. 16. *Veſpera — verbo.*

Veſperam finem diei nominauit, ideo Marcus et Lucas mentionem quoque fecerunt de occaſu ſolis, manifeſtius demonſtrantes tempus. Popularis enim turba expectato ſolis occaſu propter ſabbati obſeruationem, morbis tunc laborantes adduxit: diſcipuli vero etiam ante ſolis occaſum deprecati ſunt eum pro ſalute febricitantis, vt qui primum viderant eum ſine delectu ſabbato curantem, ac didicerant iam ab illo, a quibus operibus abstinere iuberet lex, quae de ſabbati quiete ſtatuta erat, et qualia aggredi permitteret.

Obſerua quoque quo pacto interdum quidem extenta manu curat, vt in ſocru Petri: interdum autem verbo loquens, vt in puero Centurionis, et in his daemoniacis: quandoque vtrumque faciens,

8) παραλαβεῖν. A. 9) ὀψίας. A.

τῆς χειρὸς αὐτῆς, οὐ μόνον τὸν πυρετὸν ἔσβεσεν, ἀλλὰ καὶ καθαρὰν εὐθὺς ἀπέδωκεν αὐτῇ τὴν ὑγείαν. ἠγέρθη γὰρ, καὶ αὐτίκα διηκόνει. καίτοι μετὰ τὴν ἀπαλλαγὴν τοῦ πυρετοῦ, πολλοῦ δεῖ χρόνου τοῖς κάμνουσιν, ὥστε τὴν προτέραν ὑγείαν [8]) ἐπαναλαβεῖν, καὶ ἐπὶ τῆς θαλάσσης δὲ, οὐ μόνον τὴν ζάλην ἔστησεν, ἀλλὰ καὶ τὸν σάλον τῶν κυμάτων ἔπαυσε, καίτοι μετὰ τὴν ζάλην μένει μέχρι πολλοῦ τὰ ὕδατα σαλευόμενα. οὕτω γὰρ οἶδεν ὁ χριστὸς ὁμοῦ καὶ τὸ ἐνοχλοῦν δεινὸν λύειν, καὶ τὴν προτέραν ἀποδιδόναι κατάστασιν.

Κεφ. Θ. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

Verſ. 16. Ὀψίας — λόγῳ.

Ὀψίαν, [9]) τὸ τέλος τῆς ἡμέρας ὠνόμασε. διὸ καὶ ὁ μάρκος καὶ ὁ λουκᾶς προστεθείκασιν, ὅτι ὅτε ἔδυ [i]) ὁ ἥλιος, φανερώτερον δηλώσαντες τὸν καιρόν· ὁ μὲν γὰρ δημώδης ὄχλος ἀναμείνας τὴν δύσιν τοῦ ἡλίου, διὰ τὴν τοῦ σαββάτου παρατήρησιν, οὕτω τοὺς πάσχοντας προσήγαγεν· οἱ δὲ μαθηταὶ, καὶ πρὸ τῆς τοῦ ἡλίου δύσεως, παρεκάλεσαν αὐτὸν, ἰάσασθαι τὴν πυρέσσουσαν, ἅτε καὶ πρότερον ἰδόντες αὐτὸν ἀπαρατηρήτως ἐν σαββάτῳ θεραπεύοντα, καὶ μεμαθηκότες ἤδη παρ' αὐτοῦ, ποίων μὲν ἔργων ἀπέχεσθαι προσέταξεν ὁ περὶ τῆς ἀργίας τοῦ σαββάτου νόμος, ποῖα δὲ μετιέναι παρεχώρησε.

i) Marc. 1, 32. Luc. 4, 40.

Παρατήρησον δὲ, πῶς ποτὲ μὲν ἐκτείνων τὴν χεῖρα θεραπεύει· ὡς ἐπὶ τῆς τοῦ πέτρου πενθερᾶς· ποτὲ δὲ λόγον λέγων· ὡς ἐπὶ τοῦ παιδὸς τοῦ ἑκατοντάρχου, καὶ ἐπὶ τῶν δαιμονιζομένων

τούτων·

faciens, vt in leproso. Ostendit enim se omnipotentem esse.

Vers. 16. *Et* — Vers. 17. *portauit.*

Per languores et morbos hic mihi intellige languorum ac morborum reatus. Quum enim languores ac multos patientes morbos curauit, in seipsum eorum reatum transtulit: dico sane labores et mortem: ideo etiam multos perpessus labores tempore acerbae passionis mortuus est. Sed Matthaeus de corporalibus languoribus ac morbis metaphorico verbo loquitur: Isaias vero languores et morbos peccata appellauit: quae Christus sumere ac portare dicitur in modum victimae. Nam animal quod pro peccatis ad victimam producebatur, quodammodo peccata omnium in seipsum suscipiebat ac portabat, et populum quidem his liberabat, ipsum vero propter haec iugulabatur. Pulchre autem propheticum dictum transumpsit Euangelista. Plurimi siquidem languores ac morbi corporales a peccatis oriuntur, sicut in progressu docebimur: nihilque vetat haec quoque vocari peccata.

Vers. 18. *Quum autem vidisset — in ulteriorem ripam.*

Iussit hoc discipulis. Simul quidem ne gloriae cupidus videretur, simul etiam vt inuidiae Iudaeorum mederetur. Praeterea instruens nos, vt admirationi haberi fugiamus.

Cap. X.

τέτων· ποτὲ δὲ καὶ ἀμφότερα ποιῶν, ὡς ἐπὶ τῦ λεπρῦ. δείκνυσι γὰρ, ὅτι παντοδύναμός ἐςι.

Verſ. 16. Καὶ — Verſ. 17. ἐβάςασεν.

Ἀσθενείας καὶ νόσες νόει μοι νῦν, τὰς τῶν ἀσθενειῶν καὶ νόσων ὀφειλάς. τῶν γὰρ ἀσθενειῶν καὶ νόσων ἐλευθερώσας τὲς πάσχοντας, ἐφ' ἑαυτὸν μετέςησε τὸ χρέος αὐτῶν, λέγω δὴ, τὲς πόνες καὶ τὸν θάνατον. διὸ καὶ, πολλὲς πόνες ὑποςὰς ἐν τῷ καιρῷ τῦ ἀχράντε πάθες, ἀπέθανεν. ἀλλὰ ματθαῖος μὲν, περὶ σωματικῶν ἀσθενειῶν καὶ νόσων εἶπε, μεταλαβὼν τὸ ῥητόν· ἠσαΐας δὲ ἀσθενείας καὶ νόσες, τὰς ἁμαρτίας ὠνόμασεν, ἃς ὁ χριςὸς λαβεῖν καὶ βαςάσαι λέγεται, δίκην θύματος. τὸ γὰρ εἰς θυσίαν προσαγόμενον ζῶον ὑπὲρ ἁμαρτιῶν τῦ λαῦ, τρόπον τινὰ τὰς ἁμαρτίας πάντων εἰς ἑαυτὸ ἐλάμβανε καὶ ἐβάςαζε. καὶ τὸν μὲν λαὸν ἠλευθέρου τέτων, αὐτὸ δὲ διὰ ταύτας ἐσφάζετο. καλῶς δὲ μετέλαβε τὸ προφητικὸν ῥητὸν ὁ εὐαγγελιςής. καὶ γὰρ αἱ πλείες τῶν σωματικῶν ἀσθενειῶν καὶ νόσων ἐξ ἁμαρτιῶν φύονται, καθὼς μαθησόμεθα προβαίνοντες. καὶ οὐδὲν κωλύει καλεῖν καὶ ταύτας ἁμαρτίας.

Verſ. 18. Ἰδὼν δὲ — εἰς τὸ πέραν.

Ἐκέλευσε τῦτο τοῖς μαθηταῖς, ἅμα μὲν, ἵνα μὴ δόξῃ φιλενδείκτης, ἅμα δὲ θεραπεύων τὸν φθόνον τῶν ἰεδαίων, ἅμα δὲ καὶ ἡμᾶς παιδεύων, φεύγειν τὸ ἀποβλέπεσθαι.

Cap. X. De eo cui non permiſit vt ſe ſequeretur.

Verſ. 19. *Et — ieris.*

Hic ſcriba quum pecuniae auidus eſſet, ſuſpicabatur Ieſum ex miraculis diuitias multas colligere, et ſperabat, quodſi in morem diſcipuli illum ſequeretur, copioſas collecturus eſſet diuitias. Chriſtus ergo cognito quid vellet, ad intentum eius reſpondet. Et vide quid dicat.

Verſ. 20. *Et — reclinet.*

Et vulpibus, inquit, et volucribus coeli ſum pauperior: neque enim receptaculum habeo, nec quantum ſufficiat ad caput tantum reclinandum. Tales autem eſſe volo et eos, qui me ſequuntur. Itaque fruſtra ſuſpicatus es, et in vanum ſperaſti. Et hoc pacto dupliciter illum iuuit: et manifeſtando quod animae illius arcana noſſet: et illum non manifeſte arguendo, ſed ipſi ſoli reprehenſionem aperiendo: vt et pudorem effugeret, et ſi vellet corrigeretur. Hoc autem dicendo, non vetuit ſe ſequi, ſed docuit, quod ſequens non inuenturus eſſet lucrum quod quaerebat. Caeterum ille intelligens, quod cognitus eſſet, ac intento fruſtratus, ſiluit.

Quidam vero dicunt, quod praegnoſcens eum Chriſtus, non ſolum pecuniarum amori ſeruientem, ſed aliis quoque affectibus, anagogice reſponderit: vulpes ac volucres appellans daemones propter dolum illorum, et quod ſeminibus ac fructibus virtutum inſidientur, ac ſi diceret: Daemones

Κεφ. Ι. Περὶ τȣ̃ μὴ ἐπιτρεπομένȣ ἀκολουθεῖν.

Verſ. 19. Καὶ — ἀπέρχῃ.

Οὗτος ὁ γραμματεὺς, φιλάργυρος ὢν, ὑπώπτευσεν, ὅτι ἀπὸ τῶν θαυμάτων χρήματα πολλὰ συλλέγει ὁ ἰησȣ̃ς, καὶ ἤλπισεν, ὅτι, ἐὰν ὡς εἷς τῶν μαθητῶν ἀκολȣθήσῃ αὐτῷ, συλλέξει πλȣ̃τον ἱκανόν. ὁ δὲ χριϛὸς γνȣ̀ς, ὃ βȣ́λεται, πρὸς τὸν σκοπὸν αὐτοῦ ἀποκρίνεται, καὶ ὅρα, τί φησί.

Verſ. 20. Καὶ — κλίνῃ.

Καὶ τῶν ἀλωπέκων, φησὶ, καὶ τῶν ὀρνέων πενέϛερός εἰμι. ȣ̓δὲ γὰρ ἔχω καταγώγιον, ȣ̓δ᾽ ὅσον ἀνακλῖναι μόνον τὴν κεφαλήν. τοιȣ́τȣς δὲ βȣ́λομαι, καὶ τȣ̀ς ἐμȣ̀ς ἀκολȣ́θȣς εἶναι, καὶ λοιπὸν μάτην ὑπέλαβες, καὶ εἰς κενὸν ἤλπισας. ȣ̔́τω διπλῶς αὐτὸν ὠφέλησε, δηλώσας τε, ὅτι οἶδε τὰ ἀπόῤῥητα τῆς ψυχῆς αὐτȣ̃, καὶ οὐκ ἐλέγξας φανερῶς, ἀλλ᾽ αὐτῷ μόνῳ τὸν ἔλεγχον ἐμβαλὼν, ὥϛε καὶ τὴν αἰσχύνην ἐκφυγεῖν, καὶ, εἰ βȣ́λοιτο, διορθωθῆναι. τȣ̃το δὲ εἰπὼν, ȣ̓κ ἐκώλυσεν αὐτὸν ἀκολȣθεῖν, ἀλλ᾽ ἐδίδαξεν, ὅτι ἀκολȣθῶν, ȣ̓χ εὑρήσει κέρδος, οἷον ζητεῖ. λοιπὸν οὖν ἐκεῖνος συνεὶς, ὅτι διεγνώσθη, καὶ ἀποτυχὼν τȣ̃ σκοποῦ, σεσίγηκε.

Τινὲς δέ φασιν, ὅτι προγινώσκων αὐτὸν ὁ χριϛὸς, ȣ̓ μόνον φιλαργυρίᾳ δεδȣλωμένον, ἀλλὰ καὶ ἑτέροις πάθεσιν, ἀναγωγικῶς ἀπεκρίνατο, ἀλώπεκας καὶ πετεινὰ, τȣ̀ς δαίμονας ὀνομάσας, διά τε τὸ δολερὸν αὐτῶν, καὶ διὰ τὸ ἐπιβȣλεύειν τοῖς σπέρμασι καὶ καρποῖς τῆς ἀρετῆς

nes quidem foueas ac nidos in te habent: ego autem neque breuissimam requiem apud animam tuam inuenio. Foueae vero ac nidi daemonum, affectiones sunt, in quibus occultantur ac requiescunt. Filium autem hominis seipsum vocat, confirmans quod vere et non phantastice sit incarnatus, vt quidam suspicabantur: hominem dicens nunc matrem suam. Nam ἄνθρωπος, id est homo, vocatur non tantum vir, sed et mulier.

Vers. 21. *Alius — patrem meum.*

Quis certe fuerit hic discipulus, non significauit Euangelista: verum quisquis fuerit, probissimus erat. Vide enim quod in re etiam quae iusta ac necessaria videbatur, postulat vt sibi liceat: nolens sua ipsius autoritate abscedere. Dicit autem: Prius, manifestans quod postmodum quouis sequeretur.

Vers. 22. *Iesus autem — mortuos suos.*

Prohibuit eum: non vetans honorare parentes, sed docens oportere eum, qui coelestia appetit, non conuerti ad terrena: neque viuidis relictis, ad mortifera recurrere, aut supra Deum honorare parentes. Sciebat enim quod alii illum essent sepulturi: nec aequum erat, vt ab his quae magis necessaria erant, recederet. Opinor autem eum qui mortuus erat infidelem fuisse: ideoque dixisse Christum: *Dimitte mortuos*, hoc est, recede ab his,

*) Hic addit Hentenius ex margine sui Codicis haec: Volebat autem, vt postposita huiusmodi spe, sequeretur. At ille simul vt audiuit, tanquam pecuniae

ὡσανεὶ λέγων, ὅτι οἱ μὲν δαίμονες ἔχουσιν ἐν σοὶ φωλεοὺς καὶ κατασκηνώσεις· ἐγὼ δὲ οὐδὲ βραχεῖαν ἀνάπαυσιν εὑρίσκω παρὰ τῇ σῇ ψυχῇ. φωλεοὶ δὲ καὶ κατασκηνώσεις τῶν δαιμόνων, τὰ πάθη, οἷς ἐγκρύπτονται καὶ ἐναναπαύονται· υἱὸν δὲ ἀνθρώπου καλεῖ ἑαυτὸν, βεβαιῶν, ὅτι κατὰ ἀλήθειαν σεσάρκωται, καὶ οὐ κατὰ φαντασίαν, ὥς τινες ὑπελάμβανον. ἄνθρωπον δὲ νῦν λέγει, τὴν μητέρα αὐτοῦ. ἄνθρωπος γὰρ λέγεται, οὐχ ὁ ἀνὴρ μόνον, ἀλλὰ καὶ ἡ γυνή. [1])

Verſ. 21. Ἕτερος — πατέρα μου.

Τίς μὲν ἦν οὗτος ὁ μαθητὴς, οὐκ ἐδήλωσεν ὁ εὐαγγελιστής. ὅστις δὲ καὶ ἦν, εὐγνωμονέστατος ἦν. ὅρα γὰρ, ὅτι, καίτοι τοῦ πράγματος δικαίου καὶ ἀναγκαίου δοκοῦντος, ὅμως αἰτεῖ περὶ τούτου, μὴ θελήσας ἀπελθεῖν ἀφ' ἑαυτοῦ. τὸ δὲ πρῶτον εἶπε, δηλῶν, ὅτι ἔπειτα ἀκολουθήσει πανταχοῦ.

Verſ. 22. Ὁ δὲ ἰησοῦς — τοὺς ἑαυτῶν νεκρούς.

Ἐκώλυσεν αὐτὸν, οὐ κωλύων τὸ τιμᾶν τοὺς γονεῖς, ἀλλὰ διδάσκων, ὅτι χρὴ τὸν ἐφιέμενον τῶν οὐρανίων, μὴ ὑποστρέφειν εἰς τὰ γήινα, μηδ' ἀπολιμπάνειν μὲν τὰ ζωηρὰ, παλινδρομεῖν δὲ εἰς τὰ νεκρωτικὰ, μηδὲ θεοῦ προτιμᾶν γονεῖς. ἐγίνωσκε γὰρ, ὅτι θάψουσι τοῦτον ἄλλοι, καὶ οὐκ εἰκὸς, τοῦτον ἀπολειφθῆναι τῶν ἀναγκαιοτέρων. οἶμαι δὲ, ὅτι καὶ ἄπιστος ἦν ὁ τελευτήσας. διὸ καὶ εἶπεν, ἄφες τοὺς νεκροὺς, τουτέστι, παραχώρησον

cuniae amator abſceſſit. His ſimilia habet Theophylact. p. 44. D. Ταῦτα δὲ ἔλεγεν ὡσὰν πείσῃ αὐτὸν μεταβληθέντα ἀκολουθεῖν· ὁ δὲ ἀναχωρεῖ.

his, qui in fide mortui sunt, vt *sepeliant mortuos*, qui ipsos contingunt: Nam hic mortuus, non est tuus mortuus: Neque enim fideli pars est cum infideli. Tu vero si admiraris quo modo non sua sponte abierit, sed petiuit, vt sibi liceret: admirare etiam quo modo prohibitus manserit. Quodsi illum neque ad modicum dimisit Christus vt a sua doctrina discederet, qua poena digni erimus, qui omni tempore a praeceptis eius discedimus?

Cap. XI. De increpatione aquarum.

Vers. 23. *Quumque ascendisset — discipuli sui.*

Turbas quidem propter causas praedictas dimisit, discipulos autem suos assumpsit, propter miraculum quod in mari facturus erat. Quum enim turbis beneficia contulisset, sanando languores ac morbos eorum: videbantur discipuli nullo affecti beneficio. Et in hos itaque suam exercet munificentiam: ac postquam eos permisit in demersionis periculum incidere, demum mirabiliter eripit.

Vers. 24. *Et — fluctibus.*

Hic quidem, motum dixit. Marcus autem et Lucas, procellam dixerunt. Maris enim tempestas, et motus, et procella dicta est, eo quod aquas commoueat ac conturbet. Rursum Matthaeus et Marcus in mari nauem periclitatam esse dicunt: Lucas vero in stagno. Neque est contradictio: nam et hic, et illi Tiberiadem significant, quae

τοῖς νενεκρωμένοις εἰς πίςιν, θάψαι τὰς προσήκοντας αὐτοῖς νεκρὰς. ὁ γὰρ νεκρὸς ἄπιςος, ἀκ ἔςι σὸς νεκρὸς, διότι ἀκ ἔςι μερὶς πιςῷ μετὰ ἀπίςε. σὺ δὲ, εἰ θαυμάζεις, πῶς ἀκ αὐθαιρέτως ἀπῆλθεν, ἀλλ' ᾐτήσατο, θαύμασον, καὶ πῶς κωλυθεὶς ἔμεινεν. εἰ δ' ἐκεῖνον οὐδ' ἐπὶ μικρὸν ἀφῆκεν ὁ χριςὸς ἀπολειφθῆναι τῆς διδασκαλίας αὐτᾶ, τίνος ἂν εἴημεν ἡμεῖς ἄξιοι, τὸν ἅπαντα χρόνον ἀφιςάμενοι τῶν ἐντολῶν αὐτοῦ;

Κεφ. ΙΑ. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

Verf. 23. Καὶ ἐμβάντι — οἱ μαθηταὶ αὐτοῦ.

Τοὺς μὲν ὄχλες παρῆκε, διὰ τὰς προῤῥηθείσας αἰτίας· τὰς δὲ μαθητὰς παρέλαβε, διὰ τὸ μέλλον ἐν τῇ θαλάσσῃ γενέσθαι θαῦμα. ἐπεὶ γὰρ τῶν ὄχλων εὐεργετεμένων, ἐν τῷ θεραπεύεσθαι τὰς ἀσθενείας καὶ νόσες αὐτῶν, οἱ μαθηταὶ ἐδόκεν μένειν ἀνευεργέτητοι, λοιπὸν εὐεργετεῖ καὶ τάτες, καὶ παραχωρήσας ἐμπεσεῖν αὐτὰς εἰς κίνδυνον καταποντισμᾶ, παραδόξως ῥύεται.

Verf. 24. Καὶ — κυμάτων.

Οὗτος μὲν σεισμὸν εἶπε, μάρκος k) δὲ καὶ λουκᾶς, λαίλαπα ἀνέμε φασίν. ἔςι δὲ ταυτόν. καὶ σεισμὸς γὰρ καὶ λαίλαψ, ὁ κλύδων ἐκλήθη, διὰ τὸ σείειν καὶ συςρέφειν καὶ ἀναμοχλεύειν τὰ ὕδατα. καὶ αὖθις ματθαῖος μὲν καὶ μάρκος ἐν θαλάσσῃ κλυδωνισθῆναι τὸ πλοῖον λέγεσιν, λουκᾶς δὲ ἐν λίμνῃ. καὶ ἀκ ἐναντιοφωνᾶσιν. τὴν τιβεριάδα γὰρ καὶ ἄτοι κἀκεῖνος δηλᾶσιν, ἥτις φύσει μὲν

k) Marc. 4, 37. Luc. 8, 23.

quae natura quidem ſtagnum eſt: Situ vero mare, propter magnitudinem. Vnde et eam quandoque ſtagnum, interdum autem mare nominant. Facta eſt, inquit, tempeſtas, vt videlicet faſtus comprimeretur diſcipulorum: imaginabantur enim magna de ſeipſis, vtpote qui caeteris dimiſſis, ſoli ipſi cum praeceptore ingreſſi eſſent: et vt quaſi orbis athletae, periculo exercitarentur ad timores, et tanquam mundi gubernatores ad procellas tentationum.

Verſ. 24. *Ipſe vero dormiebat.*

Marcus etiam locum deſignat in quo dormiebat. Dixit enim quod erat in puppi ſuper ceruical dormiens. Erat autem ceruical illud ligneum, in puppi fabricatum. Dormiebat vero diſpenſatorie, vt vehementer timerent. Nam ſi vigilaſſet, aut nullo modo timuiſſent, aut parum territi fuiſſent. Oportebat autem eos magnum timoris ſenſum concipere, vt etiam ad magnum potentiae illius ſenſum peruenirent, et maiorem de eo fidem conciperent.

Verſ. 25. *Et — perimus?*

Marcus vero dicit: *Praeceptor, non eſt tibi curae quod perimus?* Lucas autem: *Praeceptor, praeceptor perimus.* Quidam nempe hoc, quidam illud dicebant: et alii vnum, alii aliud: aut etiam omnes omnia.

V. 26. *Et ait — modicae fidei homines?*

Timorem primum animae eorum ſoluit: oſtendens quod animae imbecillitas timorem cauſare conſue-

μέν ἐστι λίμνη, θέσει δὲ θάλασσα, διὰ τὸ μέγεθος. ὅθεν καὶ ποτὲ μὲν λίμνην, ποτὲ δὲ θάλασσαν αὐτὴν ὀνομάζουσιν. ἐγένετο δὲ ὁ κλύδων, ἵνα τε συσταλῇ τὸ φρόνημα τῶν μαθητῶν· ἐφαντάσθησαν γὰρ μεγάλα περὶ ἑαυτῶν, εἶτα τῶν μὲν ἄλλων ἀποπεμφθέντων, αὐτῶν δὲ μόνων συνεισελθόντων τῷ διδασκάλῳ· καὶ ἵνα γυμνασθῶσιν εἰς φόβους κινδύνων, ὡς ἀθληταὶ τοῦ κόσμου, καὶ εἰς χειμῶνας πειρασμῶν, ὡς κυβερνῆται τῆς οἰκουμένης.

Vers. 24. Αὐτὸς δὲ ἐκάθευδεν.

Ὁ δὲ μάρκος ἐδήλωσε καὶ τὸν τόπον, ἐν ᾧ ἀφύπνωσεν. εἶπε γάρ, ὅτι καὶ ἦν [l]) αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων. ξύλινον δὲ τοῦτο ἦν, ἐπὶ τῆς πρύμνης κατεσκευασμένον. ἐκάθευδε δὲ κατ᾽ οἰκονομίαν, ἵνα σφόδρα δειλιάσωσιν. εἰ γὰρ ἦν ἐγρηγορώς, ἢ οὐκ ἂν ἐδειλίασαν, ἢ ὀλίγον ἂν ἐφοβήθησαν. ἔδει δὲ αὐτοὺς πολλὴν αἴσθησιν τοῦ φόβου λαβεῖν, ἵνα καὶ εἰς πολλὴν αἴσθησιν τῆς αὐτοῦ δυνάμεως ἔλθωσι, καὶ λάβωσι πίστιν εἰς αὐτὸν πλείονα.

l) Marc. 4, 38.

Vers. 25. Καὶ — ἀπολλύμεθα.

Ὁ δὲ [m]) μάρκος, διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα. ὁ δὲ λουκᾶς, [n]) ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα. οἱ μὲν γὰρ αὐτῶν τοῦτο ἔλεγον, οἱ δὲ ἐκεῖνο, καὶ ἄλλοι τὸ ἄλλο, ἢ καὶ πάντα πάντες.

m) Marc. 4, 38.
n) Luc. 8, 24.

Vers. 26. Καὶ λέγει — ὀλιγόπιστοι;

Πρῶτον λύει τὴν δειλίαν τῆς ψυχῆς αὐτῶν, δεικνύς, ὅτι τὸν φόβον ἡ τῆς ψυχῆς ἀσθένεια ποιεῖν

consueuerit. Modicam autem eorum fidem improperauit, nempe imperfectam fiduciam in eum habitam. Sperabant enim quod eos seruare posset, sed vigilans: non autem dormiens: Ideo quoque excitant illum.

Vers. 26. *Tunc — magna.*

*) Ἐπετίμησε increpauit, hoc est, imperauit. Dicit enim Marcus, quod etiam dixerit mari: *Tace, obmutesce.*

Vers. 27. *Homines autem — ei?*

Lucas autem discipulos hoc dixisse ait: Matthaeus vero homines turbas vocat, sicut ait Chrysostomus. Siquidem verisimile est, et ipsas audito a discipulis hoc miraculo, similiter admiratas esse, et pariter haec dixisse. Quod si discipuli propter imperfectam fidem suam, quasi hominem adhuc illum admirabantur, multo magis turbae. Nam vti nauigio ad transfretationem, ac dormire, hominem hunc praedicabant: obedientia autem ventorum ac maris, nouam quandam eius naturam testabatur. Ideo etiam conturbati dicebant: *Qualis est hic?* Magis autem in admirationem duxit hoc miraculum, quam praecedentia: quia nullus vnquam tale quippiam operatus est. Neque enim virgam extentit, vt Moses: neque se aquis admouit, vt alii; sed cum autoritate praecepit, vt dominus seruis, et vt creator creaturis.

*) Ita quoque Hentenius. Arbitror tamen, ita legendum esse: ὁ δὲ ματθαῖος, τὰς ἀνθρώπας. ἀνθρώπους νῦν κ. τ. λ.

Cap. XII.

εἴωθεν· ὀλιγοπιςίαν δὲ τούτοις ὠνείδισεν, ὡς ἀτε-
λῆ πίςιν εἰς αὐτὸν κεκτημένοις. ἤλπιζον γὰρ, ὅτι
δύναται μὲν σώζειν, ἀλλ' ἐγρηγορὼς, οὐ μὲν δὴ καὶ
καθεύδων. διὸ καὶ ἐγείρουσιν αὐτόν.

Vers. 26. Τότε — μεγάλη.

Ἐπετίμησεν, ἀντὶ τοῦ, ἐπέταξε. φησὶ γὰρ ὁ μάρ-
κος, ὅτι καὶ o) εἶπε τῇ θαλάσσῃ, σιώπα, πε- o) Marc. 4, 39.
φίμωσο.

Vers. 27. Οἱ δὲ ἄνθρωποι — αὐτῷ;

Ὁ μὲν λουκᾶς, τοὺς p) μαθητὰς εἰπεῖν τοῦτό, φη- p) Luc. 8, 25.
σιν· ὁ δὲ ματθαῖος 2) ἀνθρώπους νῦν, τοὺς ὄχλους 3)
λέγει, καθώς φησιν 4) ὁ χρυσόςομος. καὶ γὰρ
εἰκὸς, καὶ τούτους, μαθόντας τουτὶ τὸ θαῦμα παρὰ
τῶν μαθητῶν, ὁμοίως θαυμάσαι, καὶ ὁμοίως εἰπεῖν.
εἰ δ' οἱ μαθηταὶ, διὰ τὸ ἀτελὲς τῆς πίςεως αὐτῶν,
ὡς ἄνθρωπον ἔτι τοῦτον ἐθαύμαζον, πολλῷ μᾶλ-
λον οἱ ὄχλοι. τὸ μὲν γὰρ κεχρῆσθαι πλοίῳ πρὸς
περαίωσιν, καὶ ὑπνοῦν, ἄνθρωπον αὐτὸν ἐκήρυτ-
τεν· ἡ δὲ τῶν ἀνέμων καὶ τῆς θαλάσσης ὑπακοὴ,
ξένην τινὰ φύσιν τούτῳ προσεμαρτύρει. διὸ καὶ
ἐξαπορούμενοι ἔλεγον, ὁποῖος ἐςιν οὗτος; πλεῖον
δὲ τῶν προλαβόντων θαυμάτων τὸ παρὸν ἐθαύ-
μασαν, διότι οὐδεὶς ποτε τοιοῦτον εἰργάσατο. οὔτε
γὰρ ἐξέτεινε ῥάβδον, ὡς μωϋσῆς, οὔτε προσηνέ-
χθη τοῖς ὕδασιν, ὡς ἕτεροι, ἀλλὰ κατ' ἐξουσίαν
ἐπέταξεν, ὡς δεσπότης δούλοις, καὶ ὡς δημιουρ-
γὸς κτίσμασι.

3) Forte λέγων. 4) Tom. VII. p. 334. E.

Κεφ. ΙΒ.

Cap. XII. De duobus daemoniacis.

Verſ. 28. *Quumque veniſſet — daemoniaci.*

Euangelia ſecundum Marcum et ſecundum Lucam Gadarenorum ſcribunt. Verum ſtagno Tiberiadi adiacet ciuitas Gergeſa, et non Gadara. Quidam autem dicunt binominem eſſe illam ciuitatem, et hoc, et illo vocari nomine. Praeterea Matthaeus duos habet daemoniacos, Marcus autem et Lucas vnius tantum meminerunt, vtpote notioris, qui legio dicebatur, de quo formidanda multa dicunt, cui etiam alter ſubſeruire dicebatur: propter quod etiam illi eum praeteriere. Matthaeus vero etiam hunc ſcripſit tanquam pariter daemoniacum.

† Imo emendatiora exemplaria habent Gergeſenorum, non Geraſenorum, neque Gadarenorum etiam apud Marcum. Gadaria enim ciuitas eſt apud Iudaeos, cui praeceps adiacet ſtagnum et nullo modo mare. Item Geraſa ciuitas eſt Arabiae, non habens mare aut ſtagnum propinquum: neque autem adeo manifeſtum mendacium dixiſſent etiam oſcitantes Euangeliſtae, viri adeo ſtudioſi in cognoſcendis locis, quae circa Iudaeam erant.

5) Hoc ſcholium in margine ſui Codicis reperit Hentenius. Edideram hoc ex Codicibus Moſquenſibus in Catena ad Marci cap. 5. v. 1. Vol. I. p. 82. edit. Moſq. 1775. 8. Ex Codicibus Vindobonenſibus laudat Alter in Edit. N. Teſt. T. I. pag. 489. Habet etiam Poſſinus in Caten. ad Marc. p. 100. Conflatum autem eſt ex Origene T. IV. pag. 140. 141. qui audacter, hoc eſt, Patriſtice hunc locum corrupit. Callide hic expediuit ſe Chryſoſtomus ex

Κεφ. ΙΒ. Περὶ τῶν δύο δαιμονιζομένων.

Verſ. 28. Καὶ ἐλθόντι — δαιμονιζόμενοι.

Τὸ δὲ κατὰ μάρκον 9) εὐαγγέλιον, ἔτι δὲ καὶ τὸ κατὰ λουκᾶν, τῶν γαδαρηνῶν γράφουσιν. ἀλλὰ τῇ τιβεριάδι λίμνῃ ἡ πόλις γέργεσα παράκειται, καὶ οὐ τὰ γάδαρα. τινὲς δέ φασιν, διώνυμον εἶναι τὴν τοιαύτην πόλιν, καὶ καλεῖσθαι τοῦτο κἀκεῖνο. ἀλλὰ ματθαῖος μὲν δύο δαιμονιζομένους φησὶ, μάρκος δὲ καὶ λουκᾶς ἑνὸς ἐμνημόνευσαν, τοῦ μᾶλλον ἐπισημοτέρου, τοῦ λεγομένου λεγεῶνος, περὶ οὗ φοβερὰ πολλὰ λέγουσιν, ᾧ καὶ ὑπηρετεῖν ὁ ἕτερος ἐδόκει. καὶ οἱ μὲν διὰ τοῦτο παρῆκαν αὐτὸν, ὁ δὲ ματθαῖος ἀνέγραψε καὶ τοῦτον, ὡς συνδαιμονιζόμενον. q) Marc. 5, 1. Luc. 8, 26.

†† Οὔτε 5) γαδαρηνῶν, οὔτε γερασηνῶν, τὰ ἀκριβῆ ἔχει τῶν ἀντιγράφων, ἀλλὰ γεργεσηνῶν. γάδαρα γὰρ πόλις ἐστὶ τῆς ἰουδαίας. λίμνη δὲ κρημνοῖς παρακειμένη, ἡ θάλασσα, οὐδαμῶς ἐστὶν ἐν αὐτῇ. καὶ γέρασα δὲ, τῆς ἀραβίας ἐστὶ πόλις, οὔτε θάλασσαν, οὔτε λίμνην πλησίον αὐτῆς ἔχουσα. καὶ οὐκ ἂν οὕτω προφανὲς ψεῦδος καὶ εὐέλεγκτον οἱ εὐαγγελισταὶ εἰρήκασαν, ἄνδρες ἀκριβῶς γινώσκοντες τὰ περὶ τῆς ἰουδαίας. γέργεσα τοίνυν ἐστὶν,

ex laqueis Origenis. Poſt verſum enim 27. ſtatim ita tranſit ad verſ. 29. Ἐπειδὴ δὲ ἀπέβη τῆς θαλάττης, διαδέχεται θαῦμα ἕτερον φοβερώτερον. δαιμονῶντες γὰρ, καθάπερ δραπέται πονηροὶ, δεσπότην ἰδόντες, ἔλεγον· τί ἡμῖν καὶ σοὶ κ. τ. λ. Vide Tom. VII. p. 335. C. Ex Chryſoſtomo ergo, qui data opera ſumum fecit, de loco, vbi haec acciderunt, nihil diſcas. Diſcas autem, vnde ſit Chryſoſtomus. Scilicet ἀλωπεκῆθεν.

erant. Gergesa igitur vnde dicti Gergeseni, vetus est ciuitas iuxta eam quae nunc Tiberias appellatur, et in decliui loco stagnum habet adiacens: in quod demonstratur porcos a daemonibus esse deiectos. Poteris autem interpretari habitaculum egredientium, vt prophetice fortasse ab euentu nomen acceperit.

Verſ. 28. *Ex — exeuntes.*

In sepulchris libenter morantur daemones, prauam opinionem hominibus immittere volentes, quod mortuorum animae daemones fiant, sed circa propriorum corporum monumenta remaneant, imo quibusdam adhaereant. Sed nequaquam id orthodoxo persuadebunt. Si enim hoc verum esset, nullo modo cruciatus diues orasset Abraham, vt Lazarum mitteret in mundum, quo fratribus suis significaret, quae circa se gerebantur, sed ipse per seipsum hoc eis indicasset.

Verſ. 28. *Saeui* — Verſ. 29. *Dei?*

Quia et discipuli et turbae hominem ipsum dicebant: veniunt nunc daemones diuinitatem illius praedicantes: Occurrente enim illis diuino radio, statim eum cognouerunt: et non ferentes virtutem impetus, inuisibiliter eos inflammantem, clamauerunt dicentes: Quid nobis et tibi, hoc est, quae est nostra potentia, si ad tuam conferatur? tu enim ignis es intolerabilis, nos autem foenum quod facile accenditur.

Verſ. 29.

ἐστὶν, ἀφ᾽ ἧς γεργεσαῖοι, πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην τιβεριάδος λίμνην, περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἀφ᾽ οὗ δείκνυται τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι. ἑρμηνεύεται δὲ ἡ γέργεσα, παροικία ἐκβεβληκότων, ἐπώνυμος οὖσα τάχα προφητικῶς, ὃ περὶ τὸν σωτῆρα πεποιήκασι, παρακαλέσαντες αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων δεσπόται.

Verſ. 28. Ἐκ — ἐξερχόμενοι.

Τοῖς τάφοις οἱ δαίμονες ἐμφιλοχωροῦσιν, ὀλέθριον δόγμα τοῖς ἀνθρώποις ἐνθεῖναι θέλοντες, ὡς ἄρα τῶν τελευτώντων αἱ ψυχαὶ, γινόμεναι δαίμονες, παραμένουσι τοῖς μνήμασι τῶν ἰδίων σωμάτων, καὶ κολλῶνταί τισιν. ἀλλ᾽ οὐκ ἄν ποτε πείσωσι τὸν ὀρθόδοξον. εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, οὐκ ἂν βασανιζόμενος ὁ πλούσιος ἐδεῖτο τοῦ ἀβραὰμ, ἀποστεῖλαι τὸν λάζαρον εἰς τὸν κόσμον, καὶ μηνῦσαι τοῖς ἀδελφοῖς αὐτοῦ τὰ κατ᾽ αὐτὸν, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ ἐμήνυσεν ἂν αὐτοῖς.

Verſ. 28. Χαλεποὶ — V. 29. θεοῦ;

Ἐπειδὴ καὶ οἱ μαθηταὶ, καὶ οἱ ὄχλοι ἄνθρωπον αὐτὸν ἔλεγον, ἔρχονται λοιπὸν οἱ δαίμονες, ἀνακηρύττοντες τὴν αὐτοῦ θεότητα. προσβαλούσης γὰρ αὐτοῖς τῆς θεϊκῆς ἀκτῖνος, εὐθὺς ἐπέγνωσαν αὐτόν. καὶ μὴ φέροντες τὴν ἀοράτως φλογίζουσαν αὐτοὺς δύναμιν τῆς πρεσβείας, ἔκραξαν λέγοντες, τί ἡμῖν καὶ σοὶ, τουτέστι, τίς ἡ ἡμετέρα δύναμις πρὸς τὴν σήν; σὺ μὲν γὰρ πῦρ ἄσβεστον, ἡμεῖς δὲ χόρτος εὐέμπρηστος.

Verſ. 29.

Verſ. 29. *Veniſti — nos?*

Quia deprehenderat eos creaturam ſuam omnino tyrannice vexantes ac perdentes, peccatum quidem negare non poſſunt: quandam autem cauſae ſuae defenſionem praetexunt, quod non nunc poenas dare debeant, ſed tempore vniuerſalis iudicii, et grauiter diſcruciati dicunt: Veniſti huc, id eſt, in terram, vt affligas nos ante definitum tempus? Audierant ſiquidem a prophetis, quod Chriſtus poſt mundi conſummationem deſcenſurus eſſet in terram, ac iudicaturus mundum, et afflicturus daemones.

Verſ. 30. *Erat — V. 31. porcorum.*

Quando quidem iam hominibus nocere non poſſunt, ad irrationalia quae illi poſſident conuertuntur: vt oſtendatur furor, quem aduerſus nos gerunt. Nec ſolum hoc, verum etiam aliud admodum malum machinantur. Student enim porcos occidere, vt horum damno contriſtati domini gregis, Ieſum non ſuſcipiant, et ita, Euangelii praedicatione non ſuſcepta, maximo afficiantur damno. Etenim neque eiecti ceſſant nocere. Quid ergo Chriſtus?

Verſ. 32. *Et — in aquis.*

Vides malitiam illorum? Quum non ignoraret quid tentarent, permittit tamen, non vt illis complaceat, ſed diſpenſatorie alia intendens. Primum vt

6) Intell. τὸν ἄνθρωπον.

7) τῶν χοίρων. B. Hentenii interpretatio videtur etiam poſtulare ἀνθρώπων. τὰ τῶν ἀνθρώπων, intell.

Verf. 29. Ἦλθες — ἡμᾶς.

Ἐπειδὴ κατέλαβεν αὐτοὺς, τὸ πλάσμα τὸ 6) ἑαυτοῦ παντὶ τρόπῳ τυραννοῦντας καὶ διαφθείροντας, ἀρνήσασθαι μὲν τὴν ἁμαρτίαν οὐ δύνανται, προβάλλονται δέ τινα δικαιολογίαν, ὅτι οὐ νῦν ὀφείλουσι δοῦναι δίκην, ἀλλ' ἐν τῷ καιρῷ τῆς παγκοσμίου κρίσεως, καὶ δεινοπαθοῦντες λέγουσιν· ἦλθες ὧδε, τουτέστιν, ἐπὶ τὴν γῆν, βασανίσαι ἡμᾶς πρὸ τοῦ ὡρισμένου καιροῦ. καὶ γὰρ ἤκουον παρὰ τῶν προφητῶν, ὅτι ὁ χριστὸς μετὰ τὴν τοῦ κόσμου συντέλειαν μέλλει κατελθεῖν εἰς τὴν γῆν, καὶ κρῖναι τὸν κόσμον, καὶ βασανίσαι τοὺς δαίμονας.

Verf. 30. Ἦν δὲ — V. 31. χοίρων.

Μηκέτι δυνάμενοι βλάπτειν τοὺς ἀνθρώπους ἐπὶ τὰ τῶν 7) ἀνθρώπων ἐτράπησαν, πρὸς ἔνδειξιν, ἧς ἔχουσι καθ' ἡμῶν μανίας. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερόν τι μηχανῶνται, σφόδρα πονηρόν. μελετῶσι γὰρ ἀνελεῖν τοὺς χοίρους, ἵνα τῇ ζημίᾳ τούτων λυπηθέντες οἱ τῆς ἀγέλης κύριοι, μὴ παραδέξωνται τὸν ἰησοῦν, καὶ ζημιωθῶσι μάλιστα, μὴ δεξάμενοι τὸ κήρυγμα τοῦ εὐαγγελίου. καὶ γὰρ οὐδ' ἀπελαυνόμενοι παύονται τοῦ βλάπτειν. τί οὖν ὁ χριστός;

Verf. 32. Καὶ — ἐν τοῖς ὕδασιν.

Εἰδὼς τὴν πανουργίαν αὐτῶν, καὶ μὴ ἀγνοῶν, ὃ μελετῶσιν, ὅμως ἐπιτρέπει, οὐ χαριζόμενος ἐκείνοις, ἀλλ' οἰκονομῶν ἕτερα. ἓν μὲν, ἵνα διδάξῃ τοὺς

intell. χρήματα καὶ κτήματα. Hoc loco, τοὺς χοίρους. Vicina vocabula, καθ' ἡμῶν, defendunt etiam hanc lectionem.

vt discant hi qui liberantur quot et quales habuerint inhabitatores. Deinde vt sciant omnes quod neque in porcos immigrare possent, nisi illis ipse permitteret. Tertium quod atrociora in illis exercerent quam in porcis, nisi etiam in eo quod tyrannice agunt, a Deo impedirentur, non permissi facere quae volunt. Cuilibet enim manifestum est quod homines magis, quam irrationalia oderunt: quum etiam irrationalia propter homines perdere studeant: et per illorum perditionem, his inferre tristitiam. Quarto vt mors porcorum omnibus confirmaret exisse daemones.

Et vide sapientissimam saluatoris cogitationem oppositam. Nam nocere volentes, magis ipsi nocumentum acceperunt. Siquidem Christi potentia apparuit, et illorum imbecillitas ac malitia deprehensa est. Per praeceps autem ferebatur grex in mare,, hoc est, praecipitanter et facto impetu. Marcus vero numerum etiam porcorum scripsit, quod erant fere bis mille. Tu quoque mihi per anagogen intellige, quod daemones eiiciuntur ab hominibus, quibus sermone succurritur. Ingrediuntur autem porcos, eos videlicet qui irrationabiliter conuersantur, et in coeno voluptatum volutantur, ac illos in perditionem praecipitant.

Vers. 33. *Qui — omnia.*

Fugerunt timentes, ne se pariter occiderent daemones, qui suos peremerant porcos. Renuntiauerunt autem omnia quae a daemonibus et a Christo dicta fuerant: ac de perditione porcorum.

τὰς ἀπαλλαγέντας, ὅσυς καὶ οἵυς εἶχον ἐνοίκυς· ἕτερον δὲ, ἵνα μάθωσι πάντες, ὅτι ὐδὲ χοίροις ἐπιπηδῆσαι δύνανται, εἰ μὴ παραχωρήσῃ τύτοις αὐτός· τρίτον, ὅτι χαλεπώτερα τῶν χοίρων ἐκείνοις ἂν εἰργάσαντο πάντως, εἰ μὴ καὶ ἐν αὐτῷ τῷ τυραννεῖν ἀνεχαιτίζοντο παρὰ τῦ θεῦ, καὶ ὐ συνεχωρῦντο ποιεῖν, ὅσα βύλονται. παντὶ γὰρ δῆλον, ὅτι τὺς ἀνθρώπυς πλεῖον μισῦσι τῶν ἀλόγων, ἐπεὶ καὶ τὰ ἄλογα διὰ τοὺς ἀνθρώπους φθείρυσι, σπεύδοντες καὶ διὰ τῆς τύτων ἀπωλείας λυπεῖν αὐτύς· τέταρτον, ἵνα ὁ θάνατος τῶν χοίρων βεβαιώσῃ πάντας, ὅτι ἐξῆλθον οἱ δαίμονες.

Καὶ ὅρα πάνσοφον ἀντιμηχάνημα τῦ σωτῆρος. μελετήσαντες γὰρ βλάψαι, πλεῖον ἔβλαβησαν καὶ τὐναντίον, ὐ ἐβύλοντο, γέγονεν. ἐξέλαμψε μὲν γὰρ ἡ τῦ χριςῦ δύναμις· ἠλέγχθη δὲ τύτων ἡ ἀσθένεια καὶ ἡ πονηρία. κατὰ τῦ κρημνῦ δὲ ὥρμησεν ἡ ἀγέλη εἰς τὴν θάλασσαν, ἀντὶ τῦ, διὰ τῦ κρημνῦ. μάρκος δὲ καὶ τὸν ἀριθμὸν τῶν χοίρων ἔγραψεν, ὅτι ἦσαν [r]) ὡς δισχίλιοι. σὺ δέ μοι νόει καὶ κατὰ ἀναγωγὴν, ὅτι οἱ δαίμονες ἀπὸ μὲν τῶν ἀνθρώπων ἐκβάλλονται, λέγω δὴ, τῶν λόγῳ βοηθυμένων· τοῖς δὲ χοίροις ἐφάλλονται, δηλαδὴ τοῖς ἀλόγως ἐγκυλιομένοις τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ κατακρημνίζυσιν αὐτὺς εἰς ἀπώλειαν.

r) Marc. 5, 13.

Verſ. 33. Οἱ δὲ — πάντα.

Ἔφυγον φοβηθέντες, μὴ καὶ αὐτὺς ἀνέλωσιν οἱ τὺς χοίρυς αὐτῶν ἀνελόντες δαίμονες. ἀπήγγειλαν δὲ πάντα, δηλαδὴ τὰ ῥηθέντα, παρά τε τῶν δαιμόνων, καὶ παρὰ τῦ χριςῦ, καὶ τὰ τῆς ἀπωλείας τῶν χοίρων.

Verſ. 33. *Et quae — daemoniacis.*

De immutatione et honeſta modeſtia ipſorum.

Verſ. 34. *Et ecce — Ieſu.*

Veniebat enim ipſe ad ciuitatem. †† Omnis autem ciuitas, pro, omnes ciues.

Verſ. 34. *Et — ipſorum.*

Dolentes, vt dictum eſt, de perditione porcorum, ac etiam territi, vt dixit Lucas: timebant enim ne mali quippiam eiecti daemones etiam in ipſos perpetrarent. Chriſtus autem ſtatim paruit: neque enim digni erant doctrina ipſius. Quanquam praeceptores quoque eis reliquit, illos videlicet qui a daemonibus liberati fuerant, et qui porcos pauerant.

Cap. IX. v. 1. *Et — in ciuitatem ſuam.*

Ciuitatem ſuam dicit Capernaum. Siquidem Bethlehem ipſum protulit: Nazaret ipſum enutriuit: Capernaum deinceps incolam habuit.

Cap. XIII. De paralytico.

V. 2. *Et ecce — decumbentem.*

Dictionem, *Ecce*, ſcriptura hebraica frequenter ponit, tanquam linguae idioma, ſicut et alia multa.

8) Incluſa omittit. A.

9) Hic addit, *καὶ ὁ αὐτὸς ἐπὶ τὴν πόλιν*. A. A πᾶσα ad πολῖται omittit Hentenius.

Vers. 33. Καὶ τὰ — δαιμονιζομένων.

Τὰ τῆς μεταβολῆς καὶ εὐκοσμίας αὐτῶν.

Vers. 34. Καὶ ἰδοὺ — Ἰησοῦ.

Ἤρχετο γὰρ [αὐτὸς[8]) ἐπὶ τὴν πόλιν.] πᾶσα δὲ ἡ πόλις, ἀντὶ τοῦ, πάντες οἱ πολῖται.[9])

Vers. 34. Καὶ — αὐτῶν.

Λυπηθέντες μὲν, ὡς εἴρηται, καὶ διὰ τὴν ἀπώλειαν τῶν χοίρων, ἔτι δὲ καὶ φοβηθέντες,[s]) ὡς ὁ λουκᾶς εἶπεν. ἐδεδοίκεισαν γὰρ, μήτι κακὸν καὶ εἰς αὐτοὺς οἱ δαίμονες ἐκβληθέντες δράσωσιν. ὁ δὲ χριστὸς εὐθὺς ὑπήκουσεν. οὐ γὰρ ἦσαν ἄξιοι τῆς αὐτοῦ διδασκαλίας. ἅμα δὲ καὶ κατέλιπεν αὐτοῖς διδασκάλους τοὺς ἀπαλλαγέντας τῶν δαιμόνων καὶ τοὺς συβώτας.[1])

s) Luc. 8, 35.

Cap. IX. v. 1. Καὶ — εἰς τὴν ἰδίαν πόλιν.

Ἰδίαν πόλιν αὐτοῦ, τὴν καπερναοὺμ λέγει. καὶ γὰρ ἡ μὲν βηθλεὲμ ἤνεγκεν αὐτόν· ἡ δὲ ναζαρὲτ, ἔθρεψεν· ἡ δὲ καπερναοὺμ, εἶχεν εἰς τὰ ἑξῆς οἰκοῦντα.

Κεφ. ΙΓ. Περὶ τοῦ παραλυτικοῦ.

Vers. 2. Καὶ ἰδοὺ — βεβλημένον.

Τὸ ἰδοὺ συνεχῶς ἡ ἑβραϊς τίθησι γραφὴ, ὡς ἰδίωμα, καθάπερ καὶ πολλὰ ἕτερα. προσήκει δὲ εἰπεῖν,

1) His enim nouis digni erant theologiae doctoribus.

multa. Dicendum est autem, alium esse hunc paralyticum ab eo cuius meminit Ioannes: nam ille ad Bethesda decumbebat, hic autem Capernaum: et ille quidem triginta et octo annos morbo tenebatur, de hoc vero nihil tale scriptum est: praeterea ille non habebat hominem, hic autem baiulos habebat: huic quoque ait: *Remissa sunt tibi peccata tua:* illi vero: *vis sanus fieri?* Ad haec, illum sabbato curauit, vnde etiam murmurabant Iudaei: hunc autem alio die, ideoque tacuerunt.

Vers. 2. *Intuitus — peccata tua.*

Sicut enim dicunt Marcus et Lucas, quum ingredi non possent, propter eorum multitudinem qui congregati erant, ascenderunt in tectum domus in qua docebat Iesus: eoque persosso, per ipsum demiserunt grabbatum in quo iacebat paralyticus: quae omnia magnae fidei erant: haec namque illis ne desperarent, persuasit, vtque omnia et facerent, et paterentur, quo ipsum conspectui saluatoris praesentarent, credentes continuo illum assequuturum esse sanitatem. Fidem, inquit, eorum: non solum demittentium, sed eius quoque qui demissus erat. Neque enim se demitti sustinuisset, nisi salutem consequi sperasset. Intuitus autem[*] Iesus tantam illorum fidem, primum quidem languido peccata remittit, deinde vero corpus sanat: simul docens plurimos morbos e peccatis oriri, et prius oportere caussam curare: Vnde etiam paralytico, de quo scribit Ioannes, dixit: *Ecce sanus factus es, non pecces deinceps, ne quid deterius tibi contingat:* Simul quoque Deum se esse osten-

*) De eodem disputat Chrysost. Tom. VII. p. 342. B. Tom. VIII. p. 211. fin.

εἰπεῖν, ὅτι[a]) ἕτερός ἐστιν ὁ παραλυτικὸς οὗτος, παρὰ τὸν ὑπὸ[t]) ἰωάννου μνημονευόμενον. ἐκεῖνος μὲν γὰρ ἐν τῇ βηθεσδὰ κατέκειτο· οὗτος δὲ ἐν τῇ καπερναοὺμ ἦν. καὶ ὁ μὲν τριάκοντα καὶ ὀκτὼ εἶχεν ἔτη. περὶ τούτου δὲ οὐδὲν τοιοῦτον ἱστόρηται. καὶ ὁ μὲν οὐκ εἶχεν ἄνθρωπον· οὗτος δὲ εἶχε τοὺς βαστάζοντας. καὶ τούτῳ μέν φησιν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἐκείνῳ δὲ, θέλεις[v]) ὑγιὴς γενέσθαι; καὶ τὸν μὲν ἐν σαββάτῳ τεθεράπευκε, διὸ καὶ ἐγόγγυζον ἰουδαῖοι· τοῦτον δὲ κατ᾽ ἄλλην ἡμέραν. διὸ καὶ ἐσίγησαν.

t) Ioh. 5, 5.

v) Ioh. 5, 6.

Verſ. 2. Καὶ ἰδὼν — αἱ ἁμαρτίαι σου.

Ὡς γὰρ ὁ μάρκος[x]) καὶ ὁ λουκᾶς εἶπον, μὴ δυνάμενοι εἰσελθεῖν, διὰ τὸ πλῆθος τῶν συλλεγέντων, ἀνῆλθον ἐπὶ τὴν στέγην τῆς οἰκίας, ἐν ᾗ ἐδίδασκεν ὁ ἰησοῦς, καὶ ἀνορύξαντες αὐτὴν, ἐχάλασαν δι᾽ αὐτῆς τὸν κράββατον, ἐφ᾽ ᾧ κατέκειτο ὁ παράλυτος· ἃ πάντα μεγάλης πίστεως ἦσαν, ἥτις ἔπεισεν αὐτοὺς, μὴ ἀπογνῶναι, μηδ᾽ ὑποστρέψαι, ἀλλὰ πάντα ποιῆσαι καὶ παθεῖν, ὑπὲρ τοῦ ἀγαγεῖν αὐτὸν εἰς ὄψιν τοῦ σωτῆρος, πιστεύοντας, ὅτι αὐτίκα τεύξεται τῆς ἰάσεως. πίστιν δὲ αὐτῶν φησὶν, οὐ μόνον τῶν χαλασάντων, ἀλλὰ καὶ τοῦ χαλασθέντος. οὐ γὰρ ἂν ἠνέσχετο χαλασθῆναι, εἰ μὴ ἰαθῆναι ἐπίστευεν. ἰδὼν δὲ ὁ χριστὸς τὴν τηλικαύτην πίστιν αὐτῶν, πρῶτον μὲν ἀφίησι τῷ νοσοῦντι τὰς ἁμαρτίας αὐτοῦ. μετὰ τοῦτο δὲ θεραπεύει τὸ σῶμα. ἅμα μὲν διδάσκων, ὅτι τὰ πολλὰ τῶν νοσημάτων ἐξ ἁμαρτιῶν φύονται, καὶ χρὴ πρῶτον ἰαθῆναι τὸ αἴτιον· καὶ γὰρ πρὸς τὸν παρὰ τῷ ἰωάννῃ παραλυτικὸν εἴρηκεν, ἴδε[y]) ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· ἅμα δὲ δεικνύων, ὅτι θεός ἐστι. τὸ μὲν γὰρ

x) Marc. 2, 4. Luc. 5, 19.

y) Ioh. 5, 14.

ostendens. Corporeas siquidem curare infirmitates, etiam sanctorum est: peccata vero remittere solius Dei. Ideo etiam scribae turbabantur.

Vers. 3. *Et — blasphemat.*

Marcus manifestius dixit: Erant quidam scribarum ibi sedentes et cogitantes in cordibus suis: *Quid hic ita loquitur blasphemias? Quis potest remittere peccata praeter vnum,* nempe Deum? offendebantur autem prae inuidia et malitia. Nam frequenter eum viderant etiam cum autoritate morbos fugantem, daemones eiicientem, vento marique imperantem: et haec omnia modo humanas vires superante factitantem. Sed hi proprias vlciscentes affectiones, Dei videbantur iniuriam vlcisci.

Vers. 4. *Quumque vidisset — vestris?*

Hic aliud quoque suae diuinitatis et ad patrem aequalitatis signum ostendit, cui contradici non possit, cognoscendo videlicet cogitationes cordium ipsorum, quod similiter solius erat Dei. Scriptum est enim: *Tu nosti corda solus omnium.* Et rursum: *Scrutans corda et renes Deus.* Et alibi: *Homo videbit in faciem, Deus autem intuebitur in corda.* Nam quia illud, quum sibi videretur impossibile, non recipiebant, inducit hoc tanquam indubitatum, per hoc probans etiam illud, ac quodammodo dicens: vere nullus potest remittere peccata, nisi vnus, qui intuetur cogitationes hominum.

Vers. 5.

[*]) Correxi Φανὲν, loco Φαμέν. Ita etiam Hentenius videtur legisse.

ἰᾶσθαι σωματικὰς νόσους, καὶ τῶν ἁγίων ἦν· τὸ δὲ ἀφιέναι ἁμαρτίας, μόνου Θεοῦ. διὸ καὶ οἱ γραμματεῖς ἐθορυβήθησαν.

Vers. 3. Καὶ — βλασφημεῖ.

Ὁ δὲ μάρκος φανερώτερον εἶπεν, ὅτι καὶ [z]) ἦσάν τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν, τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός; ἐσκανδαλίζοντο δὲ ὑπὸ φθόνου καὶ πονηρίας. καὶ γὰρ πολλάκις αὐτὸν εἶδον ἐξουσιαστικῶς καὶ νόσους φυγαδεύοντα, καὶ δαίμονας ἀπελαύνοντα, καὶ ἀνέμοις καὶ θαλάσσῃ ἐπιτιμῶντα, καὶ πάντα ταῦτα διαπραττόμενον ὑπὲρ ἄνθρωπον· ἀλλ᾽ αὐτοὶ τὰ ἴδια πάθη ἐκδικοῦντες, ἐδόκουν τὸν Θεὸν ἐκδικεῖν.

z) Marc. 2, 6. 7.

Vers. 4. Ἰδὼν δὲ — ὑμῶν;

Ἐνταῦθα καὶ ἕτερον ἀναντίῤῥητον σημεῖον τῆς ἑαυτοῦ θεότητος δείκνυσι, καὶ τῆς πρὸς τὸν πατέρα ἰσότητος, τὸ γινώσκειν τοὺς διαλογισμοὺς τῶν καρδιῶν αὐτῶν, ὅπερ ὁμοίως ἦν μόνου Θεοῦ. γέγραπται γάρ. σὺ [a]) ἐπίστασαι καρδίας μονώτατος. καὶ πάλιν· ἐτάζων [b]) καρδίας καὶ νεφροὺς ὁ Θεός. καὶ αὖθις· ἄνθρωπος [c]) ὄψεται εἰς πρόσωπον· ὁ δὲ Θεὸς ὄψεται εἰς καρδίαν. ἐπεὶ γὰρ ἐκεῖνο, ὡς [3]) φανὲν αὐτοῖς ἀδύνατον, οὐκ ἐδέξαντο, ἐπάγει τοῦτο λοιπὸν, ὡς ἀναμφίβολον· διὰ τούτου κἀκεῖνο βεβαιῶν, καὶ τρόπον τινὰ λέγων, ὅτι ὄντως οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς, ὁ βλέπων τὰς ἐνθυμήσεις τῶν ἀνθρώπων.

a) 2 Paral. 6, 30.
b) Pf. 7, 10.
c) 1 Reg. 16, 7.

Verſ. 5. *Vtrum — ambula?*

Quando quidem, inquit, blasphemus vobis videor, vtpote remittens peccata, et aequlem faciens meipſum Deo: reſpondete mihi, vtrum eſt facilius vt opere perficiatur, an dicere hoc, vel dicere illud? Erant autem ambo de quibus interrogabat, Deo quidem poſſibilia, hominibus vero impoſſibilia. Nam et remittere peccata ſolius Dei erat: et ſimiliter ſua autoritate erigere ac confirmare paralyticum. Quum autem illi tacerent, eo quod neutrum altero facilius dicere poterant, ait ipſe.

Verſ. 6. *Vt — peccata.*

Defectiuus eſt hic loquendi modus. Deficit enim, *reſpicite*. Vt, inquit, cognoſcatis, quod qui vobis apparet homo, poteſtatem habeat tanquam Deus, reſpicite. Quod autem additur, *in terra*, ſimplici ſenſu ponitur: aut valet tantundem ac ſi dicatur: In conuerſatione quam habet in terra. Dicebat itaque hoc de ſeipſo.

Verſ. 6. *Tunc ait* — V. 7. *ſuam.*

Quia remittere peccata latentem habebat demonſtrationem: ad erigendum autem ſua autoritate paralyticum, manifeſta opus erat demonſtratione: facit quod manifeſtum eſt in ſignum eius, quod erat occultum: et per hoc, et per illud plenam facit fidem, quod et hoc poſſit et illud. Ad confirmationem autem quod corpus robuſtum relinqueretur, iuſſit vt tolleret grabatum ſuum: ne phantaſtico quodam modo fieri videretur. Dimittit

Verſ. 5. Τί γάρ — περιπάτει;

Ἐπεὶ βλάσφημος ὑμῖν δοκῶ, φησὶν, ὡς ἀφιεὶς ἁμαρτίας, καὶ ἴσον ἐμαυτὸν τῷ Θεῷ ποιῶν, ἀποκρίθητε· ποῖόν ἐστιν εὐχερέστερον εἰς πρᾶξιν, πότερον τὸ εἰπεῖν τόδε, ἢ τὸ εἰπεῖν τόδε; ἦσαν δὲ καὶ ἄμφω τὰ, περὶ ὧν ἠρώτησε, Θεῷ μὲν δυνατὰ, ἀνθρώπῳ δὲ ἀδύνατα. καὶ γὰρ καὶ τὸ ἀφιέναι ἁμαρτίας, Θεοῦ μόνου ἦν· ὁμοίως δὲ καὶ, τὸ κατ' ἐξουσίαν ἐγεῖραι, καὶ 4) ἀρτιῶσαι τὸν παράλυτον. σιγώντων δὲ αὐτῶν, διὰ τὸ μηδέτερον ἔχειν εἰπεῖν εὐχερέστερον ἑτέρου, φησὶν αὐτός·

Verſ. 6. Ἵνα — ἁμαρτίας.

Ἐλλειπτικόν ἐστι τοῦτὶ τὸ σχῆμα τοῦ λόγου. λείπει γὰρ τὸ, θεωρήσατε. ἵνα δὲ, φησὶ, γνῶτε, ὅτι ὁ φαινόμενος ὑμῖν ἄνθρωπος, ἐξουσίαν ἔχει, ὡς Θεὸς, βλέψατε. τὸ δὲ, ἐπὶ τῆς γῆς, ἁπλῶς πρόσκειται, ἢ ἀντὶ τοῦ, ἐπὶ τῆς ἐν γῇ πολιτείας αὐτοῦ. ἔλεγε δὲ τοῦτο περὶ ἑαυτοῦ.

Verſ. 6. Τότε λέγει — V. 7. αὐτοῦ.

Ἐπειδὴ τὸ μὲν ἀφιέναι ἁμαρτίας, ἀφανῆ τὴν ἀπόδειξιν εἶχε· τὸ δὲ κατ' ἐξουσίαν ἐγεῖραι τὸν παράλυτον, φανερᾶς ἐδεῖτο τῆς ἀποδείξεως· ποιεῖται τὴν φανερὰν τεκμήριον τῆς ἀφανοῦς, καὶ διὰ ταύτης καὶ περὶ ἐκείνης πληροφορεῖ, ὅτι ὁ τοῦτο δυνηθεὶς, δύναται κἀκεῖνο. πρὸς βεβαίωσιν δὲ τῆς συσφίγξεως τοῦ παρειμένου σώματος, ἐκέλευσεν ἆραι τὸν κράββατον, ἵνα μὴ δόξῃ φαντασία τις τὸ γεγενημένον. ἀποστέλλει δὲ αὐτὸν εἰς

4) i. e. ἀρτιμελῆ ποιῆσαι, συσφῖγξαι. Frequentius occurrit ἀρτίζω; quam ἀρτιόω.

mittit etiam illum in domum suam, tum ne praesens ac visus, laudem sibi conciliaret: tum etiam, vt sanitatis testes haberet, quibus contradici non posset, ipsos nempe, qui morbi testes erant, vtque ipsis fidei fieret occasio.

Vers. 8. *Quum vidissent — hominibus.*

Admirabantur quidem, quod quasi Deus miraculum operatus erat: hominem tamen eum esse opinabantur, habentem potestatem super hominem.

Cap. XIV. De Matthaeo publicano.

Vers. 9. *Et — sequere me.*

Praeteriens, hoc est, pergens. Considera autem Euangelistam quomodo non erubuerit ob priorem vitam suam. Sed Marcus quidem et Lucas, ob condiscipuli reuerentiam, praetermittentes manifestum eius nomen, Leui hunc vocauerunt: Sic enim etiam appellabatur: ipse vero aperte seipsum publicanum fatetur. Siquidem neque Christum eius puduit. Simul autem hinc illius ostendit virtutem, qui se ad discipulatum vocauit: quam facile e medio telonio lucri maxime auidos ac impudentissime cauponantes abstraxerit. Telonium vero dicit huius commerciarii (vt ita loquamur) praetorium aut domum. Quum autem prius ostendisset Christus, quod peccata remittere posset, tunc etiam ad publicanum venit, ne turbentur aliqui, videntes eum discipulis annumeratum, sed cogitent

*) i. e. τὰς οἰκείας καὶ συγγενεῖς.

εἰς τὸν οἶκον αὐτοῦ· τοῦτο μὲν, ἵνα μὴ παρὼν καὶ ὁρώμενος ἔπαινον αὐτῷ προξενήσῃ· τοῦτο δὲ καὶ, ἵνα σχῇ μάρτυρας τῆς ὑγείας ἀναντιῤῥήτους, αὐτοὺς τοὺς[5]) ἀπαραγράπτους καὶ τῆς νόσου μάρτυρας, καὶ ἵνα τούτοις ἀφορμὴ γένηται πίστεως.

Vers. 8. Ἰδόντες δὲ — ἀνθρώποις.

Ἐθαύμασαν μὲν, ὅτι ὡς θεὸς ἐθαυματούργησεν· ὅμως ἄνθρωπον αὐτὸν εἶναι ὑπελάμβανον, ἔχοντα ἐξουσίαν ὑπὲρ ἄνθρωπον.

Κεφ. ΙΔ. Περὶ ματθαίου τοῦ τελώνου.

Vers. 9. Καὶ — ἀκολούθει μοι.

Παράγων, ἀντὶ τοῦ, πορευόμενος. ὅρα δὲ τὸν εὐαγγελιστὴν, πῶς οὐκ ἐπαισχύνεται τὸν πρότερον ἑαυτοῦ βίον. ἀλλὰ μάρκος [d]) μὲν καὶ λουκᾶς, αἰδοῖ τοῦ συμμαθητοῦ, τὸ φανερὸν ὄνομα τούτου παρέδραμον, λευῒν τοῦτον ὀνομάσαντες. ἐκαλεῖτο γὰρ καὶ τοῦτο. αὐτὸς δὲ φανερῶς τελώνην ἑαυτὸν ἀνομολογεῖ, διότι οὐδ' ὁ χριστὸς ἐπῃσχύνθη τοῦτον. ἅμα δὲ καὶ δείκνυσιν ἐντεῦθεν τὴν δύναμιν τοῦ καλέσαντος αὐτὸν εἰς μαθητείαν, πῶς ἀνέσπασε τοῦτον εὐχερῶς ἐκ μέσου τοῦ τελωνίου, σφόδρα φιλοκερδοῦς καὶ ἀναιδεστάτης καπηλείας. τελώνιον γὰρ λέγει, τὸ τοῦ κομμερκιαρίου[6]) πραιτώριον. δείξας δὲ πρότερον ὁ χριστὸς, ὅτι δύναται ἀφιέναι ἁμαρτίας, τότε καὶ ἐπὶ τὸν τελώνην ἔρχεται, ἵνα μὴ θορυβῶνταί τινες, βλέποντες αὐτὸν τοῖς μαθηταῖς ἐναρίθμιον· ἀλλ' ἵνα λογίζωνται,

d) Marc. 2, 14. Luc. 5, 27.

[6]) κομμερκίου. A. male. Eadem vox supra legitur ad Matth. 5, 46. vbi τελώνης explicat, κομμερκιάριος.

tent potius, quod qui soluit aliorum peccata, multo magis suorum peccata absoluit.

† Tanquam de altero narrat, quae circa se contigerunt, iactantiam abhorrens: magna siquidem laude dignus erat, quod continuo sequutus est eum.

Vers. 9. *At ille — eum.*

Admirare perfectam eius, qui vocatus est obedientiam: quomodo neque consultauit apud se: quomodo nullum super ea re consuluit amicum: quomodo non disposuit, quae domus atque substantiae suae erant: sed confestim surgens, sequutus est, relicto vniuerso mundo: solam autem adduxit mentem ad omnia paratam, quae iussisset is, qui eum vocauerat, sicut et qui antea vocati fuerant.

Verum quam ob causam de Petro et Andrea, Iacobo, Ioanne ac Matthaeo, non solum ipse Matthaeus, sed et Marcus ac Lucas scripserunt, vnde et quomodo vocati sint: de reliquis vero discipulis nihil tale docuerunt? Quia hi inter alios abiectissima habebant vitae instituta: neque enim quippiam peius publicano, neque vilius piscatore. Propter quod etiam Euangelistae in omnibus fide digni habentur, quia neque ea, quae probrum adferre videbantur praetermiserunt, nec id solum de discipulis, verum etiam de praeceptore faciunt. Statim namque plurima reliquerunt miracula: nihil autem de his, quae passus est praetermiserunt: quum de discipulis ostenderint quod adeo abiecti, tanta gratia digni habiti sunt: de praeceptore vero, quod, quum tantus esset, talia propter nos passus sit.

Vers. 10.

7) Haec vterque Codex in margine habet. Eadem inferius exhibebat Hentenius.

ται, ὅτι ὁ ἑτέρων ἁμαρτήματα λύων, πολλῷ μᾶλλον ἔλυσε τὰ τȣ̃ μαθητȣ̃.

[Ὡς [7]) περὶ ἑτέρȣ δὲ τὰ περὶ ἑαυτȣ̃ διηγεῖται, ϛέργων τὸ ἀκόμπαϛον. μέγα γὰρ ἐποίησεν, εὐθὺς ἀκολȣθήσας αὐτῷ.]

Verſ. 9. Ὁ δὲ — αὐτῷ.

Θαύμασον τὴν τελείαν τȣ̃ κληθέντος ὑπακοὴν, πῶς ȣ̉ διεσκέψατο, πῶς ȣ̉κ ἀνεκοινώσατο περὶ τȣ́τȣ φίλοις, πῶς ȣ̉ διώκησε τὰ κατὰ τὸν οἶκον καὶ τὴν οὐσίαν· ἀλλ᾿ εὐθέως ἀναϛὰς ἠκολȣ́θησε, πάντα μὲν τὸν κόσμον ἀπολιπὼν, μόνην δὲ τὴν γνώμην ἐπαγόμενος παρεσκευασμένην πρὸς τὰ κελευόμενα παρὰ τοῦ καλέσαντος, ὃν τρόπον καὶ [8]) οἱ προκληθέντες.

Ἀλλὰ τίνος ἕνεκεν περὶ πέτρȣ μὲν καὶ ἀνδρέȣ καὶ ἰακώβȣ καὶ ἰωάννȣ καὶ ματθαίȣ, οὐ μόνον αὐτὸς ὁ ματθαῖος, ἀλλὰ καὶ μάρκος καὶ λȣκᾶς ἔγραψαν, πῶς καὶ τίνα τρόπον ἐκλήθησαν· περὶ δὲ τῶν ἄλλων μαθητῶν ȣ̉δὲν τοιȣ̃τον ἐδίδαξαν; διότι μάλιϛα τῶν ἄλλων οὗτοι ἦσαν ἐν ἀποβλήτοις ἐπιτηδεύμασιν. ȣ̉τε γὰρ τελώνȣ τι χεῖρον, ȣ̉τε ἁλιέως εὐτελέϛερον. διὸ καὶ μᾶλλον οἱ εὐαγγελιϛαὶ τὸ ἀξιόπιϛον ἐν ἅπασιν ἔχȣσιν, ὅτι ȣ̉δὲ τὰ δοκȣ̃ντα φέρειν τοῖς μαθηταῖς ὄνειδος παρελίμπανον. καὶ ȣ̉κ ἐπὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τȣ̃ διδασκάλȣ τȣ̃το ποιȣ̃σιν. αὐτίκα γȣ̃ν πολλὰ μὲν τῶν θαυμάτων αὐτȣ̃ παρέδραμον, ȣ̉δὲν δὲ τῶν παθημάτων αὐτȣ̃ παρέλιπον, δεικνῦντες περὶ μὲν τῶν μαθητῶν, ὁποῖοι ὄντες, ὁποίας χάριτος ἠξιώθησαν, περὶ δὲ τȣ̃ διδασκάλȣ, ὁποῖος ὢν, ὁποῖα πέπονθε δι᾿ ἡμᾶς.

Verſ. 10.

8) οἱ, abeſt. B.

Verſ. 10. *Et factum — eius.*

Intuitus Chriſtus ſinceriſſimam ac promptiſſimam huius obedientiam accedit, vt et illum honoret, et ſe illi familiarem praebens, libereque tribuens, his qui eo venerant aliquam correctionem tradat. Ille autem tantum aſſequutus bonum, liberalior efficitur, et ſicut ait Lucas, fecit ei conuiuium magnum in domo ſua, id eſt, officioſum epulum.

Publicanos vero appellat etiam peccatores, propter obtrectationem qua male audiebant: ipſi enim calumniam ſuſtinebant, tanquam iniuſti et auari ac raptores, omnique compaſſione carentes, et impudentes. Aut fortaſſis et alii quidam erant: nobiliora quidem vitae inſtituta habentes, eisdem tamen obnoxii affectibus: nam ſimile ſuo congaudet ſimili.

Et hos ergo Matthaeus conuiuio accepit, vtpote qui ſibi in gaudio communicabant, et eius artis, eorundemque erant morum. Chriſtus autem tolerabat, vt etiam pariter cum eo tales accumberent, propter venturam ſimul accumbentibus vtilitatem: et particeps cum eis erat ferculorum iniuſte paratorum, ob grande lucrum, quod inde erat prouenturum: nec curabat multorum indignationem, ſciens quod niſi medicus putredinem tolleret, ab ea non liberabit aegrotantes. Atqui plane nouerat prauam inde ſuſpicionem de ſe exorituram, quod ad epulum veniſſet, et quod ad publicani epulum, quodque ſimul cum multis publicanis accumberet.

Vide enim poſtmodum Iudaeos improperantes ei, ac dicentes: *Ecce homo vorax, et potor vini, amicus publicanorum et peccatorum*: ſed tamen haec

Vers. 10. Καὶ ἐγένετο — αὐτοῦ.

Ἰδὼν ὁ χριστὸς τὴν εἰλικρινεστάτην ὑπακοὴν τούτου καὶ προθυμίαν, ἐπὶ τὴν οἰκίαν αὐτοῦ παραγίνεται, τιμῶν τε αὐτὸν καὶ οἰκειούμενος, καὶ παῤῥησίας μεταδιδοὺς, καὶ ἵνα καὶ τοῖς ἐκεῖ παράσχῃ τινὰ διόρθωσιν· αὐτὸς δὲ, τοιούτου τυχὼν ἀγαθοῦ, φιλοτιμότερον διεγείρεται, καὶ, καθώς φησιν ὁ λουκᾶς, ἐποίησε e) δοχὴν μεγάλην αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ, τουτέστιν, ὑποδοχὴν, θεραπείαν, ἑστίασιν. e) Luc. 5, 29.

Τελώνας δὲ καὶ ἁμαρτωλοὺς, τοὺς αὐτοὺς λέγει, πρὸς διασυρμὸν αὐτῶν. διεβέβληντο γὰρ, ὡς ἄδικοι καὶ πλεονέκται καὶ ἅρπαγες καὶ ἀσυμπαθεῖς καὶ ἀναιδεῖς· ἢ καὶ ἄλλοι τινὲς ἦσαν, ἴσως ἕτερα μὲν ἐπιτηδεύματα ἔχοντες, τοῖς αὐτοῖς δὲ πάθεσιν ἐνεχόμενοι. τῷ γὰρ ὁμοίῳ χαίρει τὸ ὅμοιον.

dixit: In quamcunque domum intraueritis, primum dicite: Pax huic domui.

Verſ. 13. *Et — conuertatur.*

Quia is qui ſuſcipit, ſaepius digni nomen habet, vitam autem indignam, ideo dicit: Si quidem fuerit domus digna, veniat ſuper illam pax quae a vobis datur, id eſt operetur in illam, fruaturque pace et tranquillitate: ſi vero fuerit indigna, pax veſtra ad vos conuertatur, ſiue nihil operetur: ſed hac vobiscum ſumpta, exite.

Vide quod non dederit eis praecognitionem digni et indigni: vt re maxime neceſſaria deſtituti, ſeſe deprimant tanquam imperfecti. Admirandum eſt autem, quomodo poſtquam omnibus eos nudauit, rurſum illis omnia ſubmiſerit. Quis enim laeta fronte non ſuſcipiat hoſpitio quibuslibet obuiis contentos, ac ſollicitudine carentes, fulgentes, non verbo tantum et miraculis, verum etiam quod magis eſt, bona vita?

Verſ. 14. *Et — veſtrorum.*

Marcus dixit: *Excutite puluerem, qui eſt ſub pedibus veſtris, in teſtimonium illis*, ſiue ad redargutionem illorum. Manifeſtabant enim per talem excuſſionem, quod non ſolum nihil inde acceperint, ſed etiam puluerem, qui inde adhaeſiſſet, a pedibus ſuis excuterent, tanquam propter illos impium.

Verſ. 15.

4) Intelligitur ergo, vnde in non nullos Codices h. l. venerit: *λέγοντες· εἰρήνη τῷ οἴκῳ τούτῳ.*

5) *αὕτη* non habet in textu. Nec Chryſoſtomus agnoſcit Tom. VII. pag. 371. fin. Alii tamen apud

θηταῖς ἐντειλάμενος εἶπεν, ὅτι v) εἰς ἣν δ' ἂν οἰ- v) Luc. 10, 5.
κίαν εἰσέρχησθε, πρῶτον λέγετε, εἰρήνη τῷ
οἴκῳ [4]) τούτῳ.

Verſ. 13. Καὶ — ἐπιςραφήτω.

Διότι πολλάκις ὁ ὑποδεχόμενος, ὄνομα μὲν εἶχεν ἀξίȣ, βίον δὲ ἀνάξιον, φησὶν, ὅτι ἐὰν μὲν ᾖ ἡ οἰκία [5]) αὐτη ἀξία, ἐλθέτω ἐπ' αὐτὴν ἡ δοθεῖσα παρ' ὑμῶν εἰρήνη, τȣτέςιν, ἐνεργησάτω εἰς αὐτὴν, καὶ ἔςω εἰρήνης ἀπολαύȣσα καὶ γαλήνης· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἀναςρεφέτω, ἤγȣν, μηδὲν ἐνεργησάτω, ἀλλὰ ταύτην μεθ' ἑαυτῶν λαβόντες ἐξέλθετε.

Σκόπει δὲ, πῶς ȣ̓κ ἔδωκεν αὐτοῖς πρόγνωσιν ἀξίȣ καὶ ἀναξίȣ, ἵνα τῷ ἀναγκαιοτάτῳ λειπόμενοι ταπεινοφρονῶσιν, ὡς ἀτελεῖς. χρὴ δὲ θαυμάζειν, πῶς πάντων γυμνώσας αὐτȣ̀ς, τὰ πάντων αὐτοῖς ἀνῆκε. τίς γὰρ ȣ̓κ ἂν ἡδέως ἐξενοδόχησε τȣ̀ς ȣ̔́τως ἀσκεύȣς καὶ ἀμερίμνȣς, λάμποντας [6]) ȣ̓ μόνον ἀπὸ τῶν λόγων καὶ τῶν θαυμάτων, ἀλλὰ καὶ πρὸ τȣ́των, ἀπὸ τȣ̃ βίȣ;

Verſ. 14. Καὶ — ὑμῶν.

Ὁ δὲ μάρκος, φησὶν, ἐκτινάξατε x) τὸν χοῦν x) Marc. 6, 11.
τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς, ἤγȣν, εἰς ἔλεγχον αὐτῶν. ἐδήλȣ γὰρ ὁ ἐκτιναγμὸς οὗτος, ὅτι οὐ μόνον ȣ̓δὲν ἐκεῖθεν ἔλαβον, ἀλλὰ καὶ τὸν ἐκεῖθεν κονιορτὸν ἐκτινάσσȣσιν ἀπὸ τῶν ποδῶν αὐτῶν, ὡς καὶ αὐτὸν δι' αὐτοὺς ἀνόσιον.

apud Wetſt. inſerunt ἐκείνη. Eſt ergo explicationis, vt mox δοθεῖσα.

6) Correxi λάμποντας, pro λαμβάνοντας. Hentenius, *fulgentes*

Verſ. 15. *Amen — illi.*

Per ciuitatem etiam vicum ſignificauit. Sodoma autem et Gomorrha ciuitates olim magnae ac populoſae erant: quae propter nimiam libidinem inhabitantium maxima calamitate redactae ſunt in pulueres, igne coelitus conflagrante: et horum ſupplicium a Deo illis immiſſum, quouis alio formidabilius videbatur, ac ſi terra illa ad hoc vsque tempus inflammata videatur, ſuamque praedicet calamitatem.

Hic vero dicit Chriſtus grauius eos puniendos, qui non exceperint, neque audierint verba Apoſtolorum. Sodoma enim et Gomorrha neque miracula viderant, ſicut iſti innumera: neque ad terram illorum diſcipuli a ſaluatore miſſi fuerant. Quum autem dixit: Tolerabilius erit terrae Sodomorum et Gomorrhorum in die iudicii, ſignificauit etiam in futuro ſaeculo Sodomitas et Gomorrhitas eſſe puniendos: et hinc manifeſtum eſt quaedam peccata et hic et ibi eſſe punienda.

Timeamus ergo et nos huiusmodi minas, ſcientes, quod omnis qui non ſeruat, neque facit quae docuerunt Apoſtoli, manifeſtum eſt, quod neque ſuſcipit eos, neque illorum audit ſermones. Quare autem vno non ſuſcipiente, vniuerſa ciuitas punienda eſt? Quia caeteri quoque videntes non prohibuerunt illum. Qui autem non ſuſcipiebant Apoſtolos, publice eos expellebant.

Verſ. 16. *Ecce — luporum.*

Poſtquam illis audacium iniecit per ea, quae denuntiauerat, et duros ac adamantinos reddidit: prae-

7) Etſi Datiui etiam abſolute dicuntur, tamen hic malim aut *τῷ ὐρανόθεν*, aut *κατενεχθέντος πυρός*.

Vers. 15. Ἀμὴν — ἐκείνῃ.

Διὰ τῆς πόλεως, καὶ τὴν κώμην ἐδήλωσε. τὰ δὲ σόδομα καὶ τὰ γόμοῤῥα, πάλαι πόλεις οὖσαι μεγάλαι καὶ πολυανθρωπόταται, διὰ τὴν ἀσέλγειαν αὐτῶν πανωλεθρίᾳ κατετεφρώθησαν, οὐρανόθεν 7) κατενεχθέντι πυρί. καὶ τούτων ἡ θεήλατος αὕτη κόλασις φοβερωτέρα πάσης ἐδόκει πᾶσιν, ἅτε καὶ τῆς γῆς ἐκείνης ἄχρι καὶ νῦν ἐμπεπρησμένης φαινομένης, καὶ κηρυττούσης τὴν οἰκείαν συμφοράν.

Ἀλλὰ νῦν ὁ χριστὸς βαρύτερον κολασθήσεσθαι λέγει τοὺς μὴ δεχομένους, μηδ' ἀκούοντας τοὺς λόγους τῶν ἀποστόλων, διότι τὰ σόδομα καὶ τὰ γόμοῤῥα, οὔτε θαύματα εἶδον, ὡς οὗτοι μυρία, οὔτε πρὸς τὴν γῆν αὐτῶν μαθηταὶ παρὰ τοῦ σωτῆρος ἀπεστάλησαν. εἰπὼν δὲ, ὅτι ἀνεκτότερον ἔσται γῇ σοδόμων καὶ γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, ἐδήλωσεν, ὅτι καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ σοδομῖται καὶ γομοῤῥῖται τιμωρηθήσονται. κἀντεῦθεν φανερὸν, ὡς τινες ἁμαρτίαι καὶ ἐνταῦθα, καὶ ἐκεῖ κολάζονται.

Φοβηθῶμεν οὖν καὶ ἡμεῖς τὴν τοιαύτην ἀπειλὴν, εἰδότες, ὅτι πᾶς ὁ μὴ φυλάττων, μηδὲ ποιῶν, ἅπερ ἐδίδαξαν οἱ ἀπόστολοι, πρόδηλον, ὡς οὐδὲ δέχεται τούτους, οὔτε ἀκούει τοὺς λόγους αὐτῶν. διατί δὲ, ἑνὸς μὴ δεξαμένου, πᾶσα ἡ πόλις κολασθήσεται; διότι καὶ οἱ λοιποὶ βλέποντες, οὐκ ἐκώλυσαν αὐτόν. οἱ γὰρ μὴ παραδεχόμενοι τοὺς ἀποστόλους, δημοσίᾳ τούτους ἀπήλαυνον.

Vers. 16. Ἰδοὺ — λύκων.

Θαῤῥύνας αὐτοὺς, δι' ὧν παρήγγειλε, καὶ στεῤῥοὺς καὶ ἀδαμαντίνους ἐργασάμενος, λοιπὸν προλέγει

praedicit etiam nunc quae illis ventura sunt, non solum quae paulo post, verum etiam quae longo post tempore. Primum quidem vt vim praescientiae ipsius cognoscant. Deinde vero ne patientes, suspicentur sese haec pati, ob eius qui illos misit imbecillitatem. Tertio vt audito primum, quod mala passuri sint, facilius postmodum ferant. *Ecce,* inquit, *ego mitto vos, tanquam oues in medio luporum.* Ego qui omnia possum, mitto vos, vt mordeamini, ac dilaniemini: neque vlciscamini, aut manus repugnantes obiiciatis. Quamobrem? Quia magis ita vincetis, et lupos in oues transmutabitis. Quomodo? Mea virtute, quae omnia vincit, vestraque mansuetudine, quae vt plurimum ferocitatem ac truculentiam infidelium submittit. Neque enim ferocitas per ferocitatem, sed per mansuetudinem submitti solet. Nam oportet eum, qui medetur insanis, patienter illorum ferre iniurias, solam prae oculis habendo liberationem ab insania. Et nos ergo nisi ouium mansuetudinem aduersus ferocitatem illorum, qui nos laedunt proposuerimus, nequaquam pastoris nostri auxilium habituri sumus. Siquidem ouium non luporum pastor est.

† Tanquam oues in medio luporum, vt videlicet ouium mansuetudinem ostendatis, coram lupis prostrati, nec ouium tantum mansuetudinem habeatis, sed et sedulam sinceritatem, id est, simplicitatem ac innocentiam: vt verberati ac persequutionibus appetiti, non cessetis benefacere verberantibus. Vt autem vtrumque fiat secundum virtutem, adsit prudentia serpentum in seruando capite, hoc est, fide: et simplicitas columbae, in non sumenda vltione, de his, qui iniuriam irrogant. Nec hoc ad quinque seu decem annos seruandum, sed vsque ad extremum spiritum: hoc enim

λέγει καὶ τὰ συμβησόμενα τούτοις, οὐ μόνον τὰ μικρὸν ὕστερον, ἀλλὰ καὶ τὰ μακρὸν ὕστερον. πρῶτον μὲν, ἵνα μάθωσι τὴν δύναμιν τῆς προγνώσεως αὐτοῦ· δεύτερον δὲ, ἵνα πάσχοντες, μὴ ὑποπτεύωσι, δι' ἀσθένειαν τοῦ πέμψαντος ταῦτα πάσχειν· τρίτον, ἵνα προακηκοότες, ὅτι κακοπαθήσουσι, ῥᾷον τότε φέροιεν. ἰδοὺ, φησιν, ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· ἐγὼ ὁ πάντα δυνάμενος· ὥστε δάκνεσθαι ὑμᾶς καὶ σπαράττεσθαι παρὰ τῶν ἐπιβουλευόντων, μὴ ἀμύνεσθαι δὲ, μηδ' ἀντιμάχεσθαι ταῖς χερσί. διατί; διότι μᾶλλον οὕτω νικήσετε καὶ μεταβαλεῖτε τοὺς λύκους εἰς πρόβατα. πῶς; τῆς ἐμῆς δυνάμεως τὸ πᾶν κατεργαζομένης, καὶ τῆς ὑμετέρας δὲ πρᾳότητος χαλώσης, ὡς τὰ πολλὰ, τὸ ἄγριον καὶ φονικὸν τῶν ἀπίστων. οὐ γὰρ θρασύτητι θρασύτης, ἀλλ' ἐπιεικείᾳ καταστέλλεσθαι εἴωθε. χρὴ γὰρ τὸν ἰατρεύοντα μεμηνότας μακροθύμως φέρειν τὰς παροινίας αὐτῶν, πρὸς μόνην ὁρῶντα τὴν τῆς μανίας ἀπαλλαγήν. καὶ ἡμεῖς οὖν, ἐὰν μὴ προβάτων ἡμερότητα πρὸς τὴν ἀγριότητα τῶν ἐπηρεαζόντων ἡμῖν ἐπιδειξώμεθα, πάντως οὐχ ἕξομεν τὴν τοῦ ποιμένος ἡμῶν βοήθειαν. προβάτων γὰρ, οὐ λύκων ἐστὶ ποιμήν.[8])

Verſ. 16.

[8]) Quod hic ſubiecit ſcholium Hentenius ex margine ſui Codicis, id in neutro meorum reperitur. Fruſtra id etiam in aliis libris quaeſiui. Sparſim tamen haec leguntur apud Chryſoſt. Hom. XXXIII. in Matthaeum.

enim significat, quod dicitur: Qui sustinuerit vsque in finem, hic saluus erit.

Vers. 16. *Estote — columbae.*

† Et hic in serpentibus, et alibi in oeconomo iniquo, prudentiam intellige, obseruantiam eorum, quae cuique sunt vtilia.

Vult ipsos et prudentes esse, ne letaliter vulnerentur, et sine vitio, ne iniuriarum meminerint. Nam quia prudens est serpens, ideo quum verberatur, alias quidem corporis partes obiicit, solum autem caput seruat: sciens in solo eo letale inferri vulnus. Iussit ergo prudentiam imitari serpentum, vt alia quidem et corpora et animas caeteraque obiiciant, solam autem fidem seruent illaesam, in qua sola fit vulnus letale. Et rursum quia columbae quum eis pulli auferuntur, malorum non meminerunt aduersus eos, qui abstulerunt: sed denuo ad eos accedunt, licet saepius auferant: Iubet horum quoque simplicitatem imitari, hoc est, innocentiam, in non vindicandis iniuriis, sed accedendo ad eos, qui laeserunt, illosque amando.

Et vide sapientiam. Siquidem non solam serpentum prudentiam iussit imitari, neque solam columbarum simplicitatem, sed vtramque miscuit. Nam ambae vnam simul efficiunt virtutem. Nulla enim ipsius prudentiae est vtilitas, si defuerit innocentia.

Nos vero et aliam serpentis imitemur prudentiam. Nam sicut ille vbi senuerit, per locum angustum transiens, seipsum leberide, hoc est, suo exuuio ac pelle spoliat, et ita validus efficitur: ita

[2]) δερματίδα. A.

Verſ. 16. Γίνεσθε — περιστεραί.

[Καὶ [9]) ἐπὶ τῶν ὄφεων νῦν, καὶ ἐπὶ τοῦ οἰκονόμου τῆς ἀδικίας, [y]) φρόνησιν νοήσεις, τὴν φυλακὴν τοῦ οἰκείου συμφέροντος.] y) Luc. 16, 8.

Βούλεται αὐτοὺς καὶ συνετοὺς εἶναι, πρὸς τὸ μὴ πλήττεσθαι καιρίως, καὶ ἀπονήρους, πρὸς τὸ μὴ μνησικακεῖν. ἐπεὶ γὰρ φρόνιμός ἐστιν ὁ ὄφις· διότι τυπτόμενος, τὸ μὲν ἄλλο σῶμα προΐεται, μόνην δὲ φυλάσσει τὴν κεφαλὴν, εἰδὼς ἐν ταύτῃ μόνῃ καιρίαν γίνεσθαι τὴν πληγήν· ἐκέλευσε μιμεῖσθαι τὴν φρόνησιν τῶν ὄφεων, ἐν τῷ τἆλλα μὲν, καὶ σώματα, καὶ ψυχὰς, καὶ πάντα προΐεσθαι, μόνην δὲ φυλάσσειν τὴν πίστιν, ὡς κεφαλὴν, ἐν ᾗ μόνῃ γίνεται καιρία πληγή. καὶ πάλιν, ἐπείπερ αἱ περιστεραὶ, ἀφαιρούμεναι τὰ τέκνα, οὐ μνησικακοῦσιν τοῖς ἀφελοῦσιν, ἀλλὰ καὶ προσίενται τούτους αὖθις, κἂν πολλάκις ἀφέλωσιν, ἐπιτάττει ζηλοῦν καὶ τὴν τούτων ἀκεραιότητα, τουτέστιν, ἀκακίαν, ἐν τῷ μὴ μνησικακεῖν τοῖς ἀδικοῦσιν, ἀλλὰ καὶ προσίεσθαι τούτους καὶ φιλεῖν.

Καὶ ὅρα σοφίαν. οὔτε γὰρ τὴν φρόνησιν μόνην τῶν ὄφεων μιμεῖσθαι προσέταξεν, οὔτε τὴν ἀκεραιότητα μόνην τῶν περιστερῶν, ἀλλ' ἐκέρασεν ἀμφοτέρας, διότι μίαν ἀμφότεραι ποιοῦσιν ἀρετήν. οὐδὲν γὰρ ὄφελος τῆς τοιαύτης φρονήσεως, ἐὰν ἀπῇ ἡ ἀκεραιότης.

Ἡμεῖς δὲ μιμησώμεθα καὶ ἄλλην φρόνησιν τοῦ ὄφεως. ὥσπερ γὰρ ἐκεῖνος, ὅταν γηράσῃ, στενῷ τόπῳ διείρας ἑαυτὸν, ἀποξύεται τὴν λεγομένην λεβηρίδα, [1]) φημὶ δὴ, τὴν ἐπιδερματίδα, [2]) καὶ

9) Codex vterque incluſa habet in margine.

1) Vtrumque vocabulum, λεβηρὶς, et ἐπιδερματὶς habet Erotianus in Gloſſis. p. 34.

ita quoque nos, qui vetustate affectuum senuimus, iniiciamus nos ipsos in angustum strictumque viuendi modum: et per hunc exuta veteri animae veste, robusti efficiamur.

Nunc itaque in bonum, serpentes atque columbas, exemplo accepit: Alibi vero in malum potius sumpta sunt. Nam reprobantur Iudaei tanquam serpentes et viperarum progenies: et male audit Effraim, quasi columba demens, quae non habeat cor. Solet enim frequenter scriptura, ab eodem animali differentes ostendere comparationes, quando illud bonas simul et malas habet conditiones. Nam et Christus dicitur leo propter regiam dignitatem, et inexpugnabilitatem. *Recumbens*, inquit, *dormiuit vt leo, quis suscitabit eum?* Iustus etiam leo vocatur, propter fortitudinem. *Iustus*, ait, *quasi leo confidit.* Praeterea et diabolus leo dicitur, eo quod immitis sit ac sanguinem voret. *Vt leo*, inquit, *obambulat quaerens, quem deuoret.*

Vers. 17. *Attendite — vos.*

Praedicit eis futuras tentationes, exacuens ad certamina. Attendite, inquit, ab hominibus, hoc est, obseruate homines: siue pericula ab illis expectate.

Vers. 18. *Et — me.*

Postquam dixit, quae a Iudaeis passuri erant, nunc etiam dicit, quae ab aliis gentibus.

Vers. 18. *In — gentibus.*

Ad redargutionem Iudaeorum et gentium, ne postmodum dicere possint, quod praedicationem non

καὶ γίνεται σθεναρός· οὕτω καὶ αὐτοὶ, γηράσαντες τῇ παλαιότητι τῶν παθῶν, ἐμβάλωμεν ἑαυτοὺς εἰς τὴν στενὴν καὶ τεθλιμμένην πολιτείαν, καὶ δι' αὐτῆς ἀποξύσαντες τὸν πεπαλαιωμένον χιτῶνα τῆς ψυχῆς, εὐσθενεῖς γενώμεθα.

Νῦν μὲν οὖν εἰς καλὸν παράδειγμα τοὺς ὄφεις καὶ τὰς περιστερὰς ἔλαβεν· ἀλλαχοῦ δὲ μᾶλλον εἰς κακὸν ἐλήφθησαν. κακίζονται γὰρ ἰουδαῖοι, ὡς ὄφεις, γεννήματα ἐχιδνῶν· καὶ διαβάλλεται ἐφραὶμ, ὡς περιστερὰ [z]) ἄνους, οὐκ ἔχουσα καρδίαν. εἴωθε γὰρ πολλάκις ἡ γραφὴ διαφόρους εἰκόνας ἐξ ἑνὸς ζώου παριστᾶν, ὅταν ἐκεῖνο καὶ θαυμαστὰ ἔχῃ, καὶ πονηρὰ πλεονεκτήματα. καὶ γὰρ λέων μὲν, καὶ ὁ χριστὸς, κατὰ τὸ βασιλικὸν καὶ ἄμαχον· ἀναπεσὼν [a]) γάρ, φησιν, ἐκοιμήθη, ὡς λέων· λέων δὲ καὶ ὁ δίκαιος, κατὰ τὸ εὐπαρρησίαστον. δίκαιος [b]) γάρ, φησιν, ὡς λέων πέποιθε· λέων δὲ καὶ ὁ διάβολος, κατὰ τὸ ἀνήμερον καὶ αἱμοβόρον· ὡς λέων [c]) γάρ, φησι, περιπατεῖ, ζητῶν τίνα καταπίῃ.

z) Osee 7, 11.
a) Gen. 49, 9.
b) Prov. 28, 1.
c) 1 Petr. 5, 8.

Verſ. 17. Προσέχετε — ὑμᾶς.

Προαναφωνεῖ τούτοις τοὺς μέλλοντας πειρασμοὺς, παραθήγων εἰς τοὺς ἀγῶνας. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, ἀντὶ τοῦ, φυλάττεσθε τοὺς ἀνθρώπους, εἴτουν, προσδοκᾶτε δεινὰ ἀπ' αὐτῶν.

Verſ. 18. Καὶ — ἐμοῦ.

Εἰπὼν, ἃ ὑποστήσονται παρὰ τῶν ἰουδαίων, λοιπὸν λέγει, καὶ ἃ παρὰ τῶν ἄλλων ἐθνῶν.

Verſ. 18. Εἰς — ἔθνεσιν.

Εἰς ἔλεγχον καὶ τῶν ἰουδαίων, καὶ τῶν ἐθνῶν, ἵνα μὴ δύνωνται λέγειν ὕστερον, ὅτι οὐκ ἤκουσαν τοῦ

non audierint: in tantum enim audient, vt etiam praedicatores innumeris malis afficiant.

Verſ. 19. *Quum autem — loquamini.*

Ne dicant: Et quo pacto idiotae ac illiterati perſuadere poterimus rhetoribus ac philoſophis? primum hanc eorum ſoluit dubitationem dicens: Ne ſoliciti ſitis quomodo, aut quid loquamini.

Verſ. 19. *Dabitur — loquamini.*

Dabitur: a me videlicet. Haec autem iterum dixit eis inſtante crucis paſſione, quando de mundi conſummatione illum interrogauerunt. Ait enim Lucas, quod tunc etiam ſubiunxerit: *Ego dabo vobis os et ſapientiam, cui non poterunt contradicere aut reſiſtere omnes, qui aduerſantur vobis.*

Verſ. 20. *Non — loquentes.*

Hoc eſt, qui tunc loquentur.

Verſ. 20. *Sed — vobis.*

Sed Spiritus ſanctus, qui loquitur in vobis.

Verſ. 21. *Prodet — filium.*

Illi non credentes, hos prodent fideles.

Verſ. 21. *Et — eos.*

Et ſimiliter de his dicendum eſt. Per hos autem amiciſſimos etiam alios cognatos et familiares intelligit.

Verſ. 22.

κηρύγματος. τοσȢτον γὰρ ἀκȢσȢσιν, ὥστε καὶ τȢς κήρυκας μυρίοις κακοῖς ὑποβαλεῖν.

Verſ. 19. Ὅταν δὲ — λαλήσετε.

Ἵνα μὴ λέγωσιν· ὅτι καὶ πῶς ἰδιῶται, καὶ ἀγράμματοι, πεῖσαι δυνησόμεθα ῥήτορας καὶ φιλοσόφȢς; προθεραπεύει καὶ ταύτην αὐτῶν τὴν ἀπορίαν λέγων· μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσετε.

Verſ. 19. Δοθήσεται — λαλήσετε.

Δοθήσεται, παρ' ἐμȢ δηλαδή. ταῦτα δὲ εἶπεν αὐτοῖς καὶ αὖθις, ἐγγίζοντος τȢ διὰ σαυρȢ πάθȢς, ὅτε περὶ τῆς τȢ κόσμȢ συντελείας ἠρώτησαν αὐτόν. φησὶ γὰρ ὁ λȢκᾶς, καὶ τηνικαῦτα εἰπεῖν αὐτὸν, ὅτι ἐγὼ [d]) δώσω ὑμῖν σόμα καὶ σοφίαν, ᾗ Ȣ δυνήσονται ἀντειπεῖν, Ȣδὲ ἀντισῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

d) Luc. 21, 15.

Verſ. 20. Οὐ — λαλοῦντες.

Οἱ λαλοῦντες τότε.

Verſ. 20. Ἀλλὰ — ὑμῖν.

Ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, τὸ λαλȢν ἐν ὑμῖν τότε.

Verſ. 21. Παραδώσει — τέκνον.

Οἱ μὴ πισεύσαντες, τȢς πισεύσαντας.

Verſ. 21. Καὶ — αὐτούς.

Καὶ Ȣτοι ὁμοίως. διὰ τῶν φιλτάτων δὲ τȢτων, καὶ τὰς ἄλλας ἐνέφηνε συγγενείας καὶ οἰκειότητας.

Cc 2 Verſ. 22.

Verſ. 22. *Et — nomen meum.*

Ab omnibus, id eſt, a pluribus: nam multi ipſos dilexerunt. Eſt autem et hoc ſcripturae idioma, vt omnes dicat pro pluribus. Quum autem ſuperius addiderit, *propter me*, nunc addens etiam, *propter nomen meum*, magnam eis conſolationem ac animi alacritatem iniecit, quum perſuaſum habeant, quod illis adſit et auxilietur, qui propter ipſum patiuntur.

Verſ. 22. *Qui — ſaluus erit.*

Tria innuit praeſens verbum. Primum quod non ſolum eis opus ſit ipſius auxilio, ſed et propria fortitudine: vt non illius ſolum, ſed et ipſorum bona ſint opera. Et quod defatigari non oporteat. Nam quae vtilitas eſt principii, quod finem non habet? Praeterea quod ad finem vsque vitae adeunda ſint pericula.

Dignum eſt autem, vt hos admiremur: quomodo ad tanta ac talia emiſſi pericula, audientes, quod vniuerſum orbem inimicum haberent, totaque vita ſua tentarentur: non detrectarunt periculum, neque liberationem a malis popoſcerunt. Parebant enim tanquam morigeri magiſtro: et confidebant, vtpote fideles, de potentia emittentis. Quum autem didiciſſent, quod tantam haberet fidei praedicatio fortitudinem, vt adamantinum quoque naturae amorem diſſolueret, variis affectibus ſe mutuo vincentibus, magis incitati ſunt, additisque viribus, indubitata ſpe deinceps egregia opera exhibendi, ſoli duodecim aggreſſi ſunt orbem vniuerſum: cum quo aduerſus illos ſe diabolus oppoſuit, iunctis ſecum innumeris daemoniis. Illi vero obtinuerunt victoriam, non interficientes aduer-

Verſ. 22. Καὶ — ὄνομά μου.

Ὑπὸ πάντων, ἀντὶ τῦ, ὑπὸ τῶν πλειόνων. πολλοὶ γὰρ αὐτὺς ἠγάπησαν. ἰδίωμα δὲ καὶ τῦτο γραφικὸν, πάντας λέγειν, καὶ τὺς πλείονας. ἀνωτέρω δὲ προσθείς· ὅτι ἕνεκεν e) ἐμῦ, καὶ νῦν δὲ πάλιν· ὅτι διὰ τὸ ὄνομά μυ· πολλὴν παράκλησιν καὶ προθυμίαν αὐτοῖς ἐνέβαλε, πεπεισμένοις, ὅτι συμπαρέϛαι καὶ ἀντιλήψεται τῶν παθόντων δι' αὐτόν. e)Matth. 10, 18.

Verſ. 22. Ὁ — σωθήσεται.

Τρία τὸ παρὸν ἐμφαίνει ῥητόν· ὅτι ὐ μόνον χρεία τῆς παρ' αὐτῦ βοηθείας, ἀλλὰ καὶ τῆς αὐτῶν καρτερίας, ἵνα μὴ αὐτῦ μόνον, ἀλλὰ καὶ αὐτῶν γίνοιντο τὰ κατορθώματα· καὶ ὅτι ὐ χρὴ ἀποκάμνειν. τί γὰρ ὄφελος ἀρχῆς, ὐκ ἐχύσης τέλος; καὶ ὅτι μέχρι τέλυς ζωῆς αὐτῶν παραταθήσεται τὰ δεινά.

Θαυμάσαι δὲ τύτυς ἄξιον, πῶς εἰς τοσύτυς καὶ τοιύτυς κινδύνυς ἀποϛελλόμενοι, καὶ πᾶσαν μὲν τὴν οἰκυμένην πολεμίαν ἔχειν ἀκύσαντες, παρ' ὅλην δὲ πειράζεσθαι τὴν ζωὴν, ὐκ ἐδειλίασαν, ὐδ' ἐζήτησαν ἀπαλλαγὴν τῶν δεινῶν; ὑπήκοοι γὰρ, ὡς εὐπειθεῖς τῷ διδασκάλῳ, καὶ ἐθάῤῥυν ὡς πιϛοὶ τῇ δυνάμει τῦ ἀποϛείλαντος. μεμαθηκότες δὲ καὶ, ὅτι τοσῦτον ἰσχύσει τὸ κήρυγμα τῆς πίϛεως, ὡς διαλῦσαι καὶ τὴν ἀδαμαντίνην ϛοργὴν τῆς φύσεως, καὶ τὰς σχέσεις ἀλλήλαις ἐκπολεμῶσαι, μᾶλλον ἀνηρεθίσθησαν, καὶ νευρωθέντες λοιπὸν ταῖς ἀναμφιβόλοις ἐλπίσι τῦ κατορθῦν, ἀπεδύσαντο, δώδεκα μόνοι, πρὸς ἅπασαν τὴν οἰκυμένην, ἥτινι συμπαρετάττετο κατ' αὐτῶν καὶ ὁ διάβολος μετὰ τῶν ἀπείρων αὐτῦ δαιμόνων, καὶ

aduerſarios, ſed ſibi connumerantes: et quos daemonibus aequales acceperunt, angelis ſimiles reddiderunt.

Verſ. 23. *Quum autem — aliam.*

Poſtquam dixit, quae poſt aſcenſionem ſuam erant euentura, ſermonem ad ea reduxit, quae ante crucem futura erant. Iubet autem fugere, non tanquam timidos, ſed tanquam eos, qui expelluntur. Verum ſicut Gregorius Theologus interpretatur, iubet vt miſereantur perſequentium et imbecilliorum: nec longe fugiant, ſed ab hac ciuitate in illam, ne vllam praetereant, ad quam non perueniant.

Verſ. 23. *Amen — hominis.*

Priusquam veniat ad vos. Hoc autem ad ſolatium et refrigerium eorum dixit, confirmans, quod citius eos eſſet ſibi adiuncturus, quam ipſi omnes Iudaeorum ciuitates circumirent, ſiue antequam ad vniuerſam Palaeſtinam accederent. Sufficiebat enim pro omni conſolatione, vt illis adeo exagitatis appareret: quod ſane tunc etiam fecit, ſicut promiſit. Quia autem futurum erat, vt ab his qui ſe perſequerentur, calumniam ſuſtinerent, et ideo moleſte ferrent: ſuper hoc etiam conſolationem adfert, partim a proprio exemplo, et ab his, quae ſibi ipſi accidebant, dicens:

Verſ. 24. *Non — dominum ſuum.*

Communem profert ſententiam, quaeque omnibus nota eſt: et huic adaptat, quae circa ſe accidunt, vt

[3]) Bis ergo ἴσος cum Genitiuo.

νενικήκασιν, οὐκ ἀνελόντες τοὺς ἐναντίους, ἀλλὰ μεταῤῥυθμίσαντες, καὶ δαιμόνων 3) ἴσους λαβόντες, ἀγγέλων ἴσους ἐποίησαν.

Verf. 23. Ὅταν δὲ — ἄλλην.

Εἰπὼν τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ συμβησόμενα, πάλιν ἤγαγε τὸν λόγον ἐπὶ τὰ πρὸ τοῦ σταυροῦ. κελεύει δὲ φεύγειν, οὐχ ὡς δειλοὺς, ἀλλ', ὡς διωκομένους. ὁ δὲ θεολόγος γρηγόριος ἑρμηνεύων τοῦτό, φησιν, ὅτι φειδοῖ τῶν διωκόντων, καὶ τῶν ἀσθενεστέρων· καὶ οὐδὲ μακρὰν φεύγειν, ἀλλ' ἀπὸ ταύτης τῆς πόλεως εἰς ἐκείνην, ἵνα μηδεμίαν παραλείψωσιν, εἰς ἣν οὐκ 4) ἀφίξονται.

Verf. 23. Ἀμὴν — τοῦ ἀνθρώπου.

Ἕως ἂν ἔλθῃ πρὸς ὑμᾶς. τοῦτο δὲ πρὸς ψυχαγωγίαν καὶ ἀνάψυξιν αὐτῶν εἶπε, βεβαιῶν, ὅτι θᾶττον τούτους καταλάβῃ, πρὸ τοῦ περιελθεῖν αὐτοὺς πάσας τὰς πόλεις τῶν ἰουδαίων, ἤγουν, πρὸ τοῦ διελθεῖν ὅλην τὴν παλαιστίνην. ἤρκει γὰρ καὶ μόνον ἐπιφανεὶς αὐτοῖς ἀντὶ πάσης παρακλήσεως, οὕτως ἐλαυνομένοις, ὃ δὴ τότε καὶ πεποίηκεν, ὡς ὑπέσχετο. ἐπεὶ δὲ καὶ βλασφημεῖσθαι παρὰ τῶν διωκόντων ἔμελλον, καὶ διὰ τοῦτο δάκνεσθαι, παραμυθεῖται καὶ τοῦτο τὸ μέρος, ἀπὸ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος, εἰπών·

Verf. 24. Οὐκ — τὸν κύριον αὐτοῦ.

Ἀπόφασιν μὲν λέγει κοινὴν καὶ πᾶσι γνώριμον, προσαρμόζει δὲ ταύτῃ τὰ καθ' ἑαυτὸν, ἵνα μηδ-

4) Malim, ἀφίξωνται.

vt nullus possit contradicere. Vere enim ita est, quod neque discipulus suo magistro praestantior est, neque seruus suo domino: dum ille discipulus fuerit, et iste seruus. Nam subiectio quaedam est doceri ac seruire, et secundum hoc ipsum omnino subiecti sunt. Itaque neque vos supra me estis, quum sim magister ac dominus vester.

Vers. 25. *Sufficit — magister suus.*

Satis est vobis discipulis ad consolationem, vt contumelia afficiamini, sicut et ego, qui sum magister vester: idque magnum est, vt etiam in talibus mihi similes sitis.

Vers. 25. *Et seruus — suus.*

Rursum etiam huc trahendum est, quod dixit: *sufficit vt fiat.*

Vers. 25. *Si — domesticos eius?*

Beelzebul nominabant principem daemoniorum. Et licet manifeste scriptum non sit vocatum esse Christum Beelzebul a Iudaeis, verisimile tamen est, et hoc conuitium aduersus illum iactatum esse. Vel etiam alio modo, vocatum esse dicit Beelzebul, quia amicum illius vocabant eum, dicentes: Hic non eiicit daemonia nisi per Beelzebul principem daemoniorum, vt in processu inueniemus. Atqui multa quoque alia conuitia iactabant in eum: verum hoc solum apposuit, tanquam omnium pessimum.

Vers. 26.

*) i. e. ἐλάττωσις.

εἰς ἀντιλέγειν ἔχοι. οὐκ ἔστιν ὄντως, οὔτε μαθητὴς κρείττων τοῦ οἰκείου διδασκάλου, οὔτε δοῦλος κρείττων τοῦ κυρίου αὐτοῦ, ἕως ἂν ὁ μὲν εἴη μαθητὴς, ὁ δὲ δοῦλος. ὕφεσις 5) γάρ ἐστι καὶ τὸ διδάσκεσθαι καὶ τὸ δουλεύειν, καὶ κατ' αὐτὸ τοῦτο πάντως 6) ὑποβεβήκασι. λοιπὸν οὖν οὐδ' ὑμεῖς ἐστὲ ὑπὲρ ἐμὲ, τὸν διδάσκαλον ὑμῶν καὶ κύριον.

V. 25. Ἀρκετὸν — ὁ διδάσκαλος αὐτοῦ.

Ἀρκεῖ τοῖς μαθηταῖς ὑμῖν εἰς παραμυθίαν, ἵνα γένησθε βλασφημούμενοι, ὡς ἐγὼ ὁ διδάσκαλος ὑμῶν, καὶ μέγα ὑμῖν τὸ, καὶ ἐν τοῖς τοιούτοις ἐξισωθῆναί μοι.

Verſ. 25. Καὶ ὁ δοῦλος — αὐτοῦ.

Ἑλκυστέον καὶ ἐπὶ τὸ ῥητὸν τοῦτο πάλιν τὸ, ἀρκετὸν, ἵνα γένηται.

Verſ. 25. Εἰ — οἰκειακοὺς αὐτοῦ.

Βεελζεβοὺλ ὠνόμαζον, τὸν ἄρχοντα τῶν δαιμονίων. εἰ δὲ καὶ φανερῶς οὐ γέγραπται, κληθῆναι Βεελζεβοὺλ τὸν χριστὸν ὑπὸ τῶν ἰουδαίων, ἀλλ' εἰκὸς, καὶ τοῦτο βλασφημηθῆναι κατ' αὐτοῦ, ἢ καὶ ἑτέρως κληθῆναι τοῦτο λέγει, διότι φίλον αὐτοῦ τοῦτον ἐκάλουν, λέγοντες, ὅτι οὗτος f) οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων, ὡς προϊόντες εὑρήσομεν. καὶ μὴν 7) πολλὰ καὶ ἄλλα κατεβλασφήμησαν αὐτοῦ. τοῦτο δὲ μόνον τέθεικε νῦν, ὡς χεῖρον τῶν ἄλλων.

f) Matth. 12, 24.

6) ὑποβεβλήκασι. B.
7) καὶ ἄλλα πολλά. A.

Verſ. 26. *Ne — illos.*

Conuitiantes videlicet ac mordentes.

Verſ. 26. *Nihil — ſciatur.*

Vniuerſalis quidem ſermo videtur: eſt tamen et proprius: de virtute enim Apoſtolorum loquitur: quod hanc impoſſibile ſit abſcondi: quanquam enim nunc abſcondita ſit, et ideo vos obiurgant: ſuo tamen tempore detegetur. Etſi ergo nunc ab omnibus arguamini, ne timueritis tamen eos, qui redarguunt: ſed illos potius expectate, qui in poſterum ſunt laudaturi; neque praeſentia contriſtent, ſed futura potius ad confidendum adducant.

Verſ. 27. *Quae — tectis.*

Poſtquam hos triſtitia liberauit, quae propter conuitia cauſatur: nunc de praedicatione diſſerit. Atqui neque tenebrae erant quando haec dicebat: neque in aurem eis loquebatur. Sed quia priuatim haec et non publice dicebat: et ſolis eis, non omnibus, ideo ait: Quod dico vobis priuatim, dicite publice: et quod ſoli audiſtis, praedicate omnibus. In tenebris ergo nominauit, quod priuatim dicebatur. In aurem vero, quod ſolis. Et rurſus. In luce, quod publice, in tectis autem, quod omnibus.

Verſ. 28. *Et — gehenna.*

Quum prius de aliis periculis diſſereret, ſubincidit et ſermo de interfectione ipſorum: hanc ergo etiam praedicit, iubetque eam parui pendi: *ne ti-*

mueri-

Verſ. 26. Μὴ — αὐτούς.

Λοιδοροῦντας καὶ διακωμῳδοῦντας.

Verſ. 26. Οὐδὲν — γνωσθήσεται.

Δοκεῖ μὲν καθολικὸς ὁ λόγος, ἔστι δὲ ἰδικός. περὶ τῆς ἀρετῆς γὰρ λέγει τῶν ἀποστόλων, ὅτι ἀδύνατον κρυβῆναι ταύτην. εἰ γὰρ καὶ νῦν κεκάλυπται, καὶ διὰ τοῦτο λοιδοροῦσιν ὑμᾶς, ἀλλ᾽ ἀποκαλυφθήσεται τῷ χρόνῳ, καὶ λοιπὸν τιμηθήσεσθε παρὰ πάντων. μὴ οὖν φοβηθῆτε τοὺς νῦν κωμῳδοῦντας, ἀλλὰ προσδοκᾶτε τοὺς ὕστερον ἐγκωμιάσοντας, μηδὲ τὰ παρόντα λυπείτω μᾶλλον, ἀλλὰ τὰ μέλλοντα πειθέτω θαῤῥεῖν.

Verſ. 27. Ὃ — δωμάτων.

Ἀπαλλάξας αὐτοὺς καὶ τῆς ἐπὶ τοῖς ὀνείδεσι λύπης, περὶ τοῦ κηρύγματος διαλέγεται. καὶ μὴν οὔτε σκότος ἦν, ὅτε ταῦτα ἐλέγετο, οὔτε εἰς τὸ οὖς αὐτοῖς ἔλεγεν· ἀλλ᾽ ἐπειδήπερ ἰδίᾳ καὶ οὐ δημοσίᾳ ταῦτα εἶπε, καὶ μόνοις, καὶ οὐ πᾶσι, φησίν· 8) ὅτι ὃ λέγω ὑμῖν ἰδίᾳ, εἴπατε δημοσίᾳ, καὶ ὃ ἠκούσατε μόνοι, κηρύξατε πᾶσιν· ἐν σκοτίᾳ μὲν ὀνομάσας, τὸ κατ᾽ ἰδίαν· εἰς τὸ οὖς δὲ, τὸ μόνοις, καὶ αὖθις ἐν φωτὶ μὲν, τὸ δημοσίᾳ· ἐπὶ τῶν δωμάτων δὲ, τὸ πᾶσι.

Verſ. 28. Καὶ — γεέννῃ.

Περὶ τῶν ἄλλων δεινῶν προδιαλαβὼν, ὑποκατέβη καὶ εἰς τὸν περὶ τῆς ἀναιρέσεως αὐτῶν λόγον, καὶ προλέγει καὶ ταύτην, καὶ κελεύει καταφρονεῖν

8) γὰρ, addit. A.

mueritis, inquiens, *ab his*, *qui occidunt corpus*, hoc est, ne timueritis occidentes corpus: neque propterea praedicationem relinquatis: sed eum timete, qui vos ad huiusmodi ministerium emisit: et facite, quod iussum est. Siquidem illi, etsi corpus occidant, nequaquam tamen animam superabunt: hic autem et animam et corpus potest perdere in gehenna, hoc est, punire. Timorem igitur hominum, Dei timore repellite, minorem videlicet maiore. Aliunde quoque hos de interfectionis metu consolatur: et vide, quid dicat:

Vers. 29. *Nonne — patre vestro.*

[9]Ἀσσάριον genus oboli, diminutiuum est ab asse, cuius tamen vilitas prouerbio celebris est. Dicit ergo nunc Christus interrogando: Nonne tantae vilitatis sunt passerculi, vt duo vendantur assario, hoc est, minimo obolo? et tamen neque vnus ex his capitur laqueo absque Deo, non tanquam cooperante, sed tanquam permittente.

Vers. 30. *Vestri autem — sunt.*

Vos autem tanti estis, vt omnes quoque capilli vestri numerati sint a Deo. Significat autem capillorum numerus exactam notitiam, quod valde cogniti sitis ab eo, et ad minutum quoque nouit ea, quae circa vos sunt, propter magnam vobiscum familiaritatem. Quodsi ne vnus quidem vilissimorum passerculorum laqueo capitur, absque

9) Ita quoque Cinnamus. p. 78. ἄνδρας τῶν ἐπὶ δόξης παραμυθησομένους Κοῤῥάδῳ τὴν συμφορὰν ἔστελλε.

νειν αὐτῆς, μὴ φοβῆσθε, λέγων, ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τȣτέςι, μὴ φοβῆσθε τοὺς ἀποκτείνοντας τὸ σῶμα, μηδὲ διὰ τȣ̃το καταλίπητε τὸ κηρύσσειν, ἀλλὰ φοβήθητε τὸν ἀποςείλαντα ὑμᾶς εἰς τὴν τοιαύτην διακονίαν, καὶ ποιεῖτε τὸ κελευσθέν. ἐκεῖνοι μὲν γὰρ, εἰ καὶ τὸ σῶμα ἀποκτείνωσιν, ἀλλ᾽ οὖν οὐ περιγενήσονται καὶ τῆς ψυχῆς· ȣ̃τος δὲ καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα δύναται ἀπολέσαι ἐν γεέννῃ, ὅ ἐςι, κολάσαι. φόβον ȣ̃ν ἀπώσασθε φόβῳ, τὸν τῶν ἀνθρώπων τῷ τȣ̃ θεȣ̃, καὶ τὸν ἥττονα τῷ μείζονι. καὶ ἑτέρωθεν δὲ παραμυθεῖται [9]) τȣ́τοις τὴν δειλίαν τῆς ἀναιρέσεως. καὶ ὅρα, τί φησιν.

Verf. 29. Οὐχὶ — οὐρανοῖς. [1])

Τὸ μὲν ἀσσάριον, εἶδος ὀβολȣ̃ ἐςί. λέγει δὲ νῦν ὁ Χριςὸς κατ᾽ ἐρώτησιν, ὅτι ȣ̓χὶ τοσȣ̃τόν εἰσιν εὐτελέςατα τὰ ςρȣθία, ὡς πωλεῖσθαι δύο τȣ̃ ἀσσαρίȣ, καὶ ὅμως, ȣ̓δὲ ἓν ἐκ τȣ́των θηρεύεται χωρὶς τȣ̃ θεȣ̃; ȣ̓χ ὡς συνεργȣ̃ντος, ἀλλ᾽ ὡς παραχωροῦντος.

Verf. 30. Ὑμῶν δὲ — εἰσίν.

Ὑμεῖς δὲ τοσοῦτόν ἐςε τίμιοι, ὥςε καὶ πάσας ὑμῶν τὰς τρίχας ἠριθμημένας εἶναι παρὰ θεοῦ. δηλοῖ δὲ ἡ ἀπαρίθμησις τῶν τριχῶν, τὴν ἀκριβῆ γνῶσιν, ὅτι λίαν γινώσκεσθε αὐτῷ, καὶ λεπτομερῶς οἶδε πάντα τὰ καθ᾽ ὑμᾶς, διὰ τὴν ἄγαν ὑμῶν οἰκείωσιν. καὶ εἰ τῶν εὐτελεςάτων ςρȣθίων ȣ̓δὲν θηρεύεται χωρὶς αὐτȣ̃, καθὼς εἴρηται, πολλῷ

[1]) Hentenius ergo, cuius interpretatio diſſentit, non videtur reperiſſe poſt πατρὸς ὑμῶν vocabula τȣ̃ ἐν ȣ̓ρανοῖς, quae vterque meus habet. Sic etiam verſ. 27. pro ὃ λέγω, videtur legiſſe ἃ λέγω.

que eius consensu, sicut dictum est, multo magis vos, qui pretiosi estis, non interficiemini, nisi ipse consenserit. Non oportet ergo formidare.

Vers. 31. *Ne igitur — vos.*

Ad timoris abiectionem saepius adhortatur, propter magnitudinem tentationum.

V. 32. *Omnis* — V. 33. *in coelis est.*

Confessionem vocat testimonium: prouocans eos ad sui testimonium. Dicit ergo: Omnis qui testimonium tulerit de mea diuinitate coram hominibus, et ego testimonium feram illi coram patre meo: hoc est, qui praedicauerit me esse Deum, praedicabo et ego eum esse fidelem. Quisquis autem me repulerit, repellam et ego illum. Quod ergo dicitur: *In me*, idem est, ac si dicat, *mihi.* Et quod dicitur: *In illo*, ac si dicat, *illi.* Chrysostomus vero ait, quod non dixit: Quisquis confitebitur siue testimonium dederit mihi, sed in me siue per me, hoc est, a me adiutus. Vnde consequenter etiam intelligimus, quum dicitur: Confitebor et ego in illo, perinde esse ac si dicat: a gratitudine ipsius motus. Quia autem futurum erat, vt turbatione ac caede impleretur praedicatio, de hoc quoque tractat, dicens:

Vers. 34. *Ne putetis — gladium.*

† Quid per gladium significatur, nisi sectio verbi, diuidens peius a meliori, et separans fidelem ab infideli: excitans filium et filiam ac nurum, aduer-

[2]) Tom. VII. p. 392. E.

λῶ μᾶλλον ὑμεῖς οἱ τίμιοι οὐκ ἀναιρεθήσεσθε, μὴ παραχωροῦντος αὐτοῦ. καὶ λοιπὸν οὐ χρὴ δεδοικέναι.

Verſ. 31. Μὴ οὖν — ὑμεῖς.

Πολλάκις ἐγκελεύεται τὴν ἀφοβίαν αὐτοῖς, διὰ τὰ μεγέθη τῶν μελλόντων πειρασμῶν.

Verſ. 32. Πᾶς — V. 33. ἐν οὐρανοῖς.

Ὁμολογίαν, τὴν μαρτυρίαν λέγει, παραθήγων αὐτοὺς εἰς τὸ μαρτύριον. Φησὶ γὰρ, ὅτι πᾶς, ὅστις μαρτυρήσει μοι θεότητα ἐνώπιον τῶν ἀνθρώπων, μαρτυρήσω αὐτῷ κἀγὼ πίστιν ἐνώπιον τοῦ πατρός μου, τουτέστιν, ὃς ἀνακηρύξει με θεὸν, ἀνακηρύξω αὐτὸν κἀγὼ πιστόν. ὅστις δ᾽ ἂν ἀπώσηταί με, ἀπώσομαι κἀγὼ αὐτόν. τὸ γοῦν ἐν ἐμοὶ, ἀντὶ τοῦ, ἐμοί. καὶ τὸ ἐν αὐτῷ, ἀντὶ τοῦ, αὐτῷ. ὁ δὲ χρυσόστομος [2]) φησιν, ὅτι οὐκ εἶπεν, ὅστις ὁμολογήσει ἐμοὶ, ἀλλ᾽ ἐν ἐμοὶ, τουτέστιν, ὑπ᾽ ἐμοῦ βοηθούμενος. ὅθεν ἀκολούθως νοοῦμεν καὶ τὸ, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ, ἀντὶ τοῦ, ὑπὸ τῆς εὐγνωμοσύνης αὐτοῦ κινούμενος. ἐπεὶ δὲ ταραχῆς καὶ φόβου μεστὸν ἔμελλε γίνεσθαι τὸ κήρυγμα, προδιαλαμβάνει καὶ περὶ τούτου, λέγων.

Verſ. 34. Μὴ νομίσητε — μάχαιραν.

[Τοῦ [3]) Θεολόγου· Τί δὲ ἡ μάχαιρα; ἡ τομὴ τοῦ λόγου, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, καὶ διχοτομοῦσα τὸν πιστὸν καὶ τὸν ἄπιστον, καὶ ἐπεγείρουσα τὸν υἱὸν, καὶ τὴν θυγατέρα, καὶ τὴν

3) Incluſa in margine habet. A. Legitur hic locus in oratione, εἰς τὰ ἐπιφάνια p. 236.

aduerſus patrem et matrem ac ſocrum: et noua ac recentia, aduerſus antiqua et inueterata.

Atqui nato eo dicebant angeli: *Gloria in altiſſimis Deo, et in terra pax.* Et prophetae pacem eius annuntiauerant. Ipſe quoque diſcipulis iuſſit, vt quamlibet domum ingredientes, pacem ei optarent. Quomodo ergo nunc dicit: non veni miſſurus pacem, ſed gladium? Quia gladius hic, pacem illam facturus eſt, de qua dixerunt angeli, et ante illos prophetae. Gladium autem vocat dilectionem erga ſe, vtpote fideles ab infidelibus diuidentem: cuius inexpugnabili virtute, ipſi quoque genere amiciſſimi, citius a mutua coniunctione ſunt diuiſi, facileque abſtracti. Alibi praeterea vehementem eius actiuitatem demonſtrans, dixit: *Ignem veni miſſurus in terram.* Siquidem primum abſcindere oportebat, quod erat immedicabile: deinde pacificare caetera, et erga ſeipſum et erga Deum. Propter hoc ergo, durius ita loquutus eſt, vt his cognitis, poſtea non turbentur. Adhuc autem ſermonem, qui de hoc factus eſt, explanat, breui verbo auditum eorum exercens, ne ob rerum difficultatem reclament.

Verſ. 35. *Veni — ſocrum ſuum.*

† Michaeae 7. Filius contumeliam faciet patri, et filia conſurget aduerſus matrem ſuam, nurus aduerſus ſocrum ſuam, et inimici hominis omnes domeſtici eius.

Rurſus

*) Haec, quae incluſa ſunt, vterque Codex habet in margine. Paullo inferius habebat Hentenius.

τὴν νύμφην τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τῇ πενθερᾷ, τὰ νέα καὶ πρόσφατα, τοῖς παλαιοῖς καὶ σκιώδεσι.]

Καὶ μὴν ἔλεγον οἱ ἄγγελοι, γεννηθέντος αὐτοῦ, δόξα g) ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. g) Luc. 2, 14.
καὶ οἱ προφῆται δὲ τὴν εἰρήνην αὐτοῦ πάλαι προκατήγγειλαν. καὶ αὐτὸς δὲ τοῖς μαθηταῖς προσέταξεν, εἰσερχομένους h) εἰς ἑκάστην οἰκίαν, h) Matth. 10, 12.
εἰρήνην ἐπιλέγειν αὐτῇ. πῶς οὖν φησὶ νῦν, ὅτι οὐκ ἦλθον βαλεῖν εἰρήνην; διότι ἡ μάχαιρα αὕτη ποιεῖν ἔμελλε τὴν εἰρήνην ἐκείνην, περὶ ἧς εἶπον οἵ τε ἄγγελοι, καὶ πρὸ τούτων οἱ προφῆται. μάχαιραν δὲ λέγει, τὴν πρὸς αὐτὸν ἀγάπην, ὡς διαιροῦσαν τοὺς πιστεύοντας ἀπὸ τῶν μὴ πιστευόντων, ἧς τῇ ἀμάχῳ δυνάμει καὶ αὐτὰ τὰ φίλτατα γένη θᾶττον διεσπάσθησαν ἐκ τῆς ἀλλήλων συναφείας, καὶ εὐχερῶς ἀπερράγησαν. καὶ ἀλλαχοῦ δὲ τὸ σφοδρὸν αὐτῆς καὶ δραστήριον ἐμφαίνων εἴρηκεν, ὅτι i) πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. i) Luc. 12, 49.
ἔδει γάρ, ἔδει πρῶτον ἀποκοπῆναι τὸ ἀνιάτως ἔχον, εἶτα τὸ λοιπὸν εἰρηνεῦσαι, πρός τε ἑαυτό, καὶ πρὸς τὸν θεόν. διὰ τοῦτο τοίνυν οὕτως ἀποτόμως εἶπεν, ἵνα γινώσκοντες ταῦτα, μὴ ταράττωνται. προσεξαπλοῖ δὲ καὶ ἔτι τὸν περὶ τούτου λόγον, γυμνάζων τὴν ἀκοὴν αὐτῶν τῇ τραχύτητι τῶν ῥημάτων, ἵνα μὴ ἐν τῇ δυσκολίᾳ τῶν πραγμάτων ἰλιγγιάσωσιν.

Vers. 35. Ἦλθον — τῆς πενθερᾶς αὐτῆς.

[4) Μιχαίου· k) θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς· ἐχθροὶ ἀνδρός, πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.] k) Mich. 7, 6.

Rurſus per hos chariſſimos, cognationem omnem ſignificauit. Propriiſſime autem dixit, vt hominem ſiue filium diſſidere faciam aduerſus patrem ſuum, filiam autem aduerſus matrem ſuam. Siquidem chariores ſunt: filius quidem patri, filia vero matri, propter naturae ſimilitudinem. Ad haec nurum apte dixit aduerſus ſocrum ſuam diuidendam eſſe: magnum enim cum obſeruantia pudorem, reuerentiam, ac obſequium exhibebant nurus ſocribus. In nuru autem ſignificauit, et generum aduerſus ſocerum ſuum ſeparandum. Superius itaque ſimplicem fecerat enumerationem dicens: Prodet frater fratrem in mortem, et pater filium: hic vero alio modo enumerauit naturaliori, magisque proprio. Quod ſi diſſidere facit hominem aduerſus eum, qui ipſo ſuperior eſt, multo magis aduerſus coniugem, quae ipſi ſubiecta eſt: illud enim naturale, hoc autem aſcititium eſt. Proinde hoc quaſi manifeſtum reliquit intelligendum. In ſequentibus vero etiam expreſſe de coniugibus commemorabit, dicens: Omnis, qui reliquerit domum, aut fratres, aut ſorores, aut patrem, aut matrem, aut vxorem, aut filios, aut agros propter nomen meum, centupla accipiet, et vitae aeternae ſortietur haereditatem.

Verſ. 36. *Et inimici — eius.*

Hoc propheticum eſt verbum, dictum olim aduerſus Iudaeos, quando contra ſe inuicem diſſenſiones habebant. Chriſtus autem opportune aptauit his, quae dicta ſunt, ſignificans, quod omnes domeſtici eius, qui crediturus eſt, inimici eius efficientur.

Verſ. 37.

Πάλιν διὰ τῶν φιλτάτων τούτων, παντοίαν συγγένειαν ἐνέφηνε. οἰκειότατα δὲ εἶπεν, ἄνθρωπον μὲν, εἴτουν υἱὸν, διελεῖν κατὰ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα δὲ κατὰ τῆς μητρὸς αὐτῆς· φίλτεροι γὰρ υἱὸς μὲν πατρὶ, θυγάτηρ δὲ μητρὶ, δι' ὁμοιότητα φύσεως. καὶ τὴν νύμφην δὲ αὖθις ἁρμοδίως εἴρηκε διχάσαι κατὰ τῆς πενθερᾶς αὐτῆς. πολλὴν γὰρ αἰδῶ καὶ τιμὴν καὶ θεραπείαν παρεῖχον αἱ νύμφαι ταῖς πενθεραῖς. διὰ δὲ τῆς νύμφης, ἐδήλωσε καὶ τὸν νυμφίον κατὰ τοῦ πενθεροῦ διχαζόμενον. ὀπίσω μὲν οὖν ἁπλῆν ἀπαρίθμησιν ἐποιήσατο, εἰπὼν, ὅτι παραδώσει l) ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· ἐνταῦθα δὲ τρόπον ἕτερον ἀπηριθμήσατο φυσικώτερόν τε καὶ σχετικώτερον. εἰ δὲ τὸν ἄνθρωπον διχάσει κατὰ τοῦ ὑπερκειμένου πατρὸς αὐτοῦ, πολλῷ μᾶλλον κατὰ τῆς ὑποκειμένης αὐτῷ συζύγου. τοῦ μὲν γὰρ φύσει, τῆς δὲ θέσει τὸ φίλτρον. τιμιώτερον δὲ τὸ φύσει τοῦ θέσει. λοιπὸν οὖν, ὡς δῆλον, ἀφῆκε τοῦτο νοεῖσθαι. προϊὼν δὲ ῥητῶς καὶ περὶ τῶν συζύγων διέξεισι, λέγων, ὅτι πᾶς m) ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

l) Matth. 10, 21.

m) Matth. 19, 29.

Verſ. 36. Καὶ ἐχθροὶ — αὐτοῦ.

Τοῦτο προφητικόν ἐστι τὸ ῥητὸν λεχθὲν πάλαι κατὰ τῶν ἰουδαίων, ὅτε κατ' ἀλλήλων ἐσχίσθησαν· ὁ δὲ χριστὸς εὐκαίρως τοῦτο τοῖς προκειμένοις προσήρμοσε, δηλῶν, ὅτι πάντες οἱ οἰκεῖοι τοῦ μέλλοντος πιστεύειν ἐχθροὶ τούτῳ γενήσονται.

Verſ. 37. *Qui amat — dignus.*

Hic quoque de ſolis aſcendentibus et deſcendentibus in vnoquoque diſſeruit, tanquam magis propriis et familiaribus. Qui amat, inquit, illos ſupra me: nam quando illi pii ſunt, honeſtum eſt illos amare. Semper autem malum eſt amare illos ſupra Deum.

Verſ. 38. *Et qui — dignus.*

Crucem vocat mortem ad ea, quae mundi ſunt: quia mortis inſtrumentum erat crux. Oportet enim eum, qui Chriſtum ſequuturus eſt, mortuum eſſe ad mundanas voluptates, ſicut ille. Sequitur autem illum, quisquis per veſtigia conuerſationis eius incedit.

Verſ. 39. *Qui — perdet eam.*

Qui inuenerit, hoc eſt, lucratus fuerit tempore martyrii, et non perdiderit per mortem, hic perdet eam in futuro ſaeculo, hoc eſt, in ſupplicium iniiciet, nempe perdita fide.

Verſ. 39. *Et qui — inueniet eam.*

Cui ablata fuerit mea cauſa ab infidelibus, hic potius inueniet illam, ſiue lucrabitur, id eſt, ſeruabit. Haec autem dicebat abducens illos ab ignauo vitae amore, et ad martyrium prouocans: quod etiam triceſimo tertio capite facit. Rurſum alibi vario

*) ταύτην. A.

Vers. 37. Ὁ φιλῶν — ἄξιος.

Κἀνταῦθα περὶ μόνων τῶν ἀνιόντων καὶ κατιόντων ἐφ' ἑκάστῳ διέλαβεν, ὡς οἰκειοτέρων. ὁ φιλῶν, φησὶν, αὐτοὺς, ὑπὲρ ἐμέ. ὅτε μὲν γὰρ εὐσεβοῦσιν, καλὸν τὸ φιλεῖν αὐτούς. ἀεὶ δὲ κακὸν, τὸ φιλεῖν αὐτοὺς ὑπὲρ τὸν Θεόν.

Vers. 38. Καὶ ὃς — ἄξιος.

Σταυρὸν λέγει, τὸν πρὸς τὰ βιωτικὰ θάνατον, διότι θανάσιμον ἦν ὄργανον ὁ σταυρός. χρὴ γὰρ τὸν ἀκολουθεῖν μέλλοντα τῷ χριστῷ, νεκρωθῆναι πρὸς τὰς κοσμικὰς ἡδονὰς, ὡς ἐκεῖνος. ἀκολουθεῖ δὲ ὀπίσω αὐτοῦ, πᾶς ὁ βαίνων κατ' ἴχνος τῆς πολιτείας αὐτοῦ.

Vers. 39. Ὁ — ἀπολέσει αὐτήν.

Ὁ εὑρὼν, ἀντὶ τοῦ, ὁ κερδάνας αὐτὴν ἐν καιρῷ μαρτυρίου, καὶ μὴ ἀπολέσας[5]) αὐτὴν δι' ἀναιρέσεως, οὗτος ἀπολέσει αὐτὴν, ἐν τῷ μέλλοντι αἰῶνι, τουτέστιν, εἰς κόλασιν ἐμβαλεῖ, ὡς προδεδωκυῖαν τὴν πίστιν.

Vers. 39. Καὶ ὁ — εὑρήσει αὐτήν.

Ὁ δὲ ἀφαιρεθεὶς αὐτὴν δι' ἐμὲ παρὰ τῶν ἀπίστων, οὗτος εὑρήσει μᾶλλον αὐτὴν, ἤγουν, κερδανεῖ, σώσει. ταῦτα δὲ ἔλεγεν, ἀπάγων μὲν αὐτοὺς τῆς ἀγεννοῦς φιλοψυχίας· παραθήγων δὲ ἐπὶ τὸ μαρτύριον. καὶ ἀλλαχοῦ, [ἐν[6]) τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ,] δὲ πάλιν, ἑτέρως ὁ

 χριστὸς

6) Inclusa in margine. B. Eorum loco, post μαρτύριον, Hentenius videtur legisse, ὃ καὶ ἐν τῷ — ποιεῖ.

vario modo Christus mentem impellit: saepiusque id in multis facere solet.

Vers. 40. *Qui — me misit.*

Haec dixit aperiens discipulis domos fidelium. Quis enim laeta fronte illos non excipiet hospitio, per ipsos suscepturus filium, et per filium, patrem?

Vers. 41. *Qui — accipiet.*

Etiam haec propter eandem dixit causam. Generaliter autem primo simpliciter de propheta sentit, ac simpliciter de iusto intelligit: et deinde de discipulis infert. Dicit enim: Qui prophetam aut iustum hospitio excipit, non ad demonstrationem, aut alio quopiam simulato modo, sed ob nomen prophetae vel iusti, id est, propter hoc ipsum, quod nominantur et sunt, ille propheta, et hic iustus, mercedem prophetae et iusti accipiet. Id autem duplicem habet interpretationem. Vel quod aequalibus cum his honoribus dignus habebitur: Nam magna res est hospitalitas: et praecipue si Dei sint cultores, qui excipiuntur. Aut quod dicendo, mercedem prophetae et iusti, ostenderit discipulos, et prophetas et iustos futuros. Ne quis vero paupertatis velamentum obtendat, vide quousque sermonem demittat.

Vers. 42. *Et — mercedem suam.*

Pusillos dixit discipulos, docens eos modestiam seruare. ψυχρὸν communiter dicunt aquam frigidam, quanquam simpliciter aquam significare potest. Vnde et Marcus ποτήριον ὕδατος, id est, poculum aquae absolute dixit.

Cap. XI.

χριστὸς τὸ παρὸν μετεχειρίσατο [7]). νόημα. καὶ πολλάκις ἐπὶ πολλῶν εἴωθε τοῦτο ποιεῖν.

Vers. 40. Ὁ — τὸν ἀποστείλαντά με.

Ταῦτα εἶπεν, ἀνοίγων τοῖς μαθηταῖς τὰς οἰκίας τῶν πιστευόντων. τίς γὰρ οὐκ ἂν ἀσπασίως αὐτοὺς ἐξένισε, μέλλων ὑποδέξασθαι δι' αὐτῶν μὲν τὸν υἱὸν, διὰ τοῦ υἱοῦ δὲ, τὸν πατέρα;

Vers. 41. Ὁ — λήψεται.

Καὶ ταῦτα διὰ τὴν αὐτὴν αἰτίαν εἴρηκε. καθολικῶς δὲ πρῶτον ἀποφαίνεται περὶ ἁπλῶς προφήτου, καὶ περὶ ἁπλῶς δικαίου· εἶτα ἐπιφέρει περὶ τῶν μαθητῶν. λέγει δὲ, ὅτι ὁ ξενίζων προφήτην, ἢ ἁπλῶς δίκαιον, μὴ κατ' ἐπίδειξιν, ἤ τινα τρόπον ἐσχηματισμένον, ἀλλ' εἰς ὄνομα προφήτου, ἢ δικαίου, τουτέστι, δι' αὐτὸ τὸ ὀνομάζεσθαι, καὶ εἶναι αὐτοὺς, τὸν μὲν προφήτην, τὸν δὲ δίκαιον, μισθὸν προφήτου λήψεται. τοῦτο δὲ διπλῆν ἔχει τὴν ἑρμηνείαν. ἢ ὅτι τῶν ἴσων αὐτοῖς τιμῶν καταξιωθήσεται· μέγα γὰρ καὶ ἡ φιλοξενία, καὶ μᾶλλον ἡ τῶν θεραπόντων τοῦ θεοῦ. ἢ ὅτι μισθὸν ὑπὲρ τοῦ προφήτου καὶ ὑπὲρ τοῦ δικαίου λήψεται. περὶ προφήτου δὲ καὶ περὶ δικαίου εἰπὼν, ἔδειξεν, ὅτι οἱ μαθηταὶ καὶ προφῆται καὶ δίκαιοι ἔσονται. ἵνα δὲ μὴ προβάλληταί τις πενίαν, ὅρα μέχρι πόσου συγκαταβαίνει.

Vers. 42. Καὶ — τὸν μισθὸν αὐτοῦ.

Μικροὺς, τοὺς μαθητὰς εἶπε, διδάσκων αὐτοὺς μετριοφρονεῖν· ψυχρὸν δὲ, τὸ ὕδωρ φησίν. ὁ μάρκος γὰρ ποτήριον [n]) ὕδατος εἴρηκε. n) Marc. 9, 41.

Dd 4 Cap. XI.

7) *Mentem impellere*, alienum est. Immo *tractare sententiam*.

Cap. XI. v. 1. *Et factum est. — illorum.*

[†† Διατάσσων, pro praecipiens, iubens.] Progressus est inde ad docendum et praedicandum in ciuitatibus discipulorum, a quibus illi orti erant: siue in ciuitatibus Iudaeorum.

Cap. XX. De discipulis a Ioanne missis.

Vers. 2. *Quum autem Ioannes audisset —* Vers. 3. *expectamus?*

Lucas vero dicit, quod ipsi renuntiauerunt signa Ioanni, et tunc duos quosdam ex illis misit, quod aemulationem siue inuidiam manifestat, quam habebant isti aduersus Christum. Misit autem illos Ioannes interrogans, an ipse esset, quem venturum esse dicebant libri prophetarum, non tanquam ignorans: quo enim pacto dubitaret, qui antea eum praedicauerat, et propriis manibus baptizauerat, ac desuper testimonium de eo audiuerat, diuinumque spiritum super eum descendentem quasi columbam conspexerat? Sed sciens discipulos suos inuidia moueri aduersus Christum: Siquidem prius quoque accesserant, dicentes: Rabbi, qui erat tecum trans Iordanem, cui tu testimonium perhibuisti, ecce is baptizat, et omnes veniunt ad eum.

Vehementer enim praeceptorem suum amantes, et pariter gloria illius frui cupientes, indignabantur, videntes Christum celebrem fieri. Verum

*) Inclusa in margine leguntur. B. In principio, a διατάσσων ad ἐντελλόμενος, omittit Hentenius.

Cap. XI. v. 1. Καὶ ἐγένετο — αὐτῶν.

Διατάσσων, ἀντὶ τοῦ, παραγγέλλων, ἐντελλόμενος. μετέβη δὲ ἐκεῖθεν, ὥστε διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσι τῶν μαθητῶν, ἐξ ὧν ὥρμηντο. [ἢ [8]) αὐτῶν, ἤτοι, τῶν ἰουδαίων.]

Κεφ. Κ. Περὶ τῶν ἀποσταλέντων παρὰ Ιωάννου.

Vers. 2. Ἀκούσας δὲ ἰωάννης — V. 3. προσδοκῶμεν;

Ὁ δὲ λουκᾶς [o]) φησὶν, ὅτι αὐτοὶ ἀπήγγειλαν τὰ σημεῖα τῷ ἰωάννῃ, καὶ τότε ἔπεμψε δύο τινὰς ἐξ αὐτῶν, ὅπερ ἐμφαίνει τὴν ζηλοτυπίαν, ἣν εἶχον οὗτοι πρὸς τὸν χριστόν. ἔπεμψε δὲ αὐτοὺς ὁ ἰωάννης, ἐρωτῶν, εἰ αὐτός ἐστιν, ὃν ἔρχεσθαί φασιν αἱ βίβλοι τῶν προφητῶν, οὐχ ὡς ἀγνοῶν· πῶς γάρ; ὁ προκηρύξας αὐτὸν καὶ χερσὶν ἰδίαις βαπτίσας, καὶ τῆς ἄνωθεν περὶ αὐτοῦ μαρτυρίας ἀκούσας, καὶ τὸ θεῖον πνεῦμα καταπτὰν ἐπ᾽ αὐτὸν, ὡσεὶ περιστερὰν, θεασάμενος· ἀλλ᾽ εἰδὼς, τοὺς ἑαυτοῦ μαθητὰς ζηλοτύπως πρὸς τὸν χριστὸν ἔχοντας. καὶ γὰρ καὶ πρότερον προσελθόντες εἶπον αὐτῷ, ὅτι ὃς ἦν [p]) μετὰ σοῦ πέραν τοῦ ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν.

o) Luc. 7, 18.

p) Io. 3, 26.

Ὑπερφιλοῦντες γὰρ τὸν ἴδιον διδάσκαλον, καὶ παραπολαύειν τῆς αὐτοῦ δόξης ἐθέλοντες, ἐδάκνοντο βλέποντες αὐτὸν [9]) εὐδοκιμοῦντα. ἐπεὶ

9) τὸν χριστόν.

rum quia saepius eos admonendo, persuadere nequiuerat, nunc autem breui moriturus erat: delectis duobus, qui prudentiores essent, hos mittit ad Christum, praetextu quidem interrogandi, an ipse esset ille, qui venturus erat: vera tamen causa erat, vt conspectis miraculis, quae faciebat, crederent: sciebat namque testimonium ab operibus credibilius esse, magisque suspicione carere. Ideo etiam Christus, cognito, quod ob id potius Ioannes eos misisset, statim in illa hora multa operatus est miracula, sicut dicit Lucas. Nam si Ioannes manifeste misisset eos, quo spectatores fierent; nequaquam persuaderi potuissent, vt illuc abirent. Ob hanc ergo causam praetextum finxit interrogationis.

V. 4. *Et respondens* — V. 5. *laetum euangelii nuncium accipiunt.*

Vide quomodo non ad effictam eorum interrogationem responderit, sed ad veram causam, propter quam missi erant. Pauperes autem, qui laetum euangelii nuncium accipiunt, dixit Apostolos. Quid enim eo pauperius, qui artem exercet piscatoriam?

Vers. 6. *Et beatus* — *in me.*

Hoc praesertim propter ipsos dixit Ioannis discipulos, detegens illis cordis eorum arcanum: ostenditque, quod se non lateret ipsos quoque offendi, quia cum publicanis et peccatoribus manducabat: et manifeste prius gastrimargiam ipsi obiecerant aduersus discipulos eius, vt dictum est decimo quarto capite.

Vers. 7.

δὲ πολλάκις παραινέσας, ὐκ ἔπεισεν αὐτὺς, λοιπὸν μέλλων τελευτᾷν, δύο τὺς συνετωτέρυς ἐπιλεξάμενος, πέμπει τύτυς πρὸς τὸν χριςὸν, προφάσει μὲν ἐρωτήσοντας, εἰ αὐτός ἐςιν ὁ ἐρχόμενος, τῇ δὲ ἀληθείᾳ, ἵνα θεασάμενοι τὰ θαύματα, ἃ ποιεῖ, πειθῶσι. καὶ γὰρ τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν πιςοτέραν καὶ ἀνυποπτοτέραν ἐγίνωσκε. διὸ καὶ ὁ χριςὸς, εἰδὼς ὅτι διὰ τῦτο μᾶλλον αὐτὺς ἔπεμψεν ὁ ἰωάννης, εὐθέως ἐν αὐτῇ τῇ ὥρᾳ ἐθαυματύργησε q) πολλὰ, καθὼς φησιν ὁ λυκᾶς. εἰ γὰρ φανερῶς αὐτὺς ἔπεμψε θεατὰς, ὐκ ἂν ἀπῆλθον. διὰ τῦτο ὖν ἐπλάσατο πρόφασιν ἐρωτήσεως. q) Luc. 7. 21.

Verſ. 4. Καὶ ἀποκριθεὶς — Verſ. 5. εὐαγγελίζονται.

Ὅρα, πῶς ὐ πρὸς τὴν πεπλανημένην αὐτῶν ἐρώτησιν ἀπεκρίνατο, ἀλλὰ πρὸς τὴν ἀληθῆ αἰτίαν, δι' ἣν ἐπέμφθησαν. πτωχὺς δὲ εὐαγγελιζομένυς, τὺς ἀποςόλους ὠνόμασε. τί γὰρ πενέςερον ἁλιευτικῆς;

Verſ. 6. Καὶ μακάριος — ἐν ἐμοί.

Τῦτο προηγυμένως δι' αὐτὺς εἶπε τὺς μαθητὰς ἰωάννυ, ἀνακαλύπτων αὐτοῖς τὸ τῆς καρδίας αὐτῶν μυςήριον, καὶ δεικνύων, ὅτι ὐ λελήθασιν αὐτὸν, σκανδαλιζόμενοι καὶ αὐτοὶ, διότι μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει. καὶ γὰρ καὶ φανερῶς r) πρότερον ἐνεκάλεσαν αὐτῷ [1]) γαςριμαργίαν κατὰ τῶν μαθητῶν αὐτῦ, ὡς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ προείρηται. r) Matth. 9. 14.

[1]) αὐτὸν γαςριμάργον. A. ſed hoc poſtulat ἐκάλεσαν.

Verſ. 7. *His autem — Ioanne.*

Illi quidem meliores redditi abſceſſerunt. Quare autem non ipſis praeſentibus loquutus eſt de Ioanne? Ne ei videretur adulari.

Verſ. 7. *Quid — agitatam?*

Καὶ καθάπερ τὰ ζιζάνια μέχρι μὲν τῆς καρποφορίας λανθάνοντα συναύξονται, τότε [3]) δὲ διαγινώσκονται· οὕτως ἄρα καὶ οἱ αἱρετικοὶ, μέχρι μὲν τοῦ διδάσκειν, λανθάνοντες συνδιάγουσιν· ὅτε δὲ [4]) πολλὴν λάβωσι παῤῥησίαν, τότε τὸν ἰὸν ἐκχέουσι καὶ διαγινώσκονται. διὸ καὶ προλαβὼν εἶπεν, ὅτι ἀπὸ τῶν q) καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. καὶ ἑτέρως δέ· ὅτε μὲν ἔσπειρεν ὁ χριστὸς, οὐκ ἐφάνησαν αἱρετικοί· ὅτε δὲ ηὐξήνθησαν οἱ ὀρθόδοξοι, τότε ἀνεφάνησαν. q) Matt. 7, 16.

Ll 3 Vers. 27.

3) τότε δὲ διαγινώσκονται, absunt. A.
4) καὶ, pro δέ. A. Mox idem λάβοντες (sic) pro λάβωσι.

Verſ. 27. *Accedentes — zizania?*

Paterfamilias ipſe eſt Chriſtus tanquam mundi dominus: ſeruos vero ſuos qui haec dicant effingit orthodoxos, qui feruentiorem erga cultum ſuum gerunt zelum, qui frequenter admirantur cum indignatione, quod Deus zizania naſci permittat.

Verſ. 28. *Ille autem — fecit.*

Hominem dixit diabolum tanquam nihil ab hominibus differentem, in eo quod eſt affectionibus ac voluptatibus eſſe ſubiectum, et tanquam aeque vt homo res amantem corporeas, terrenisque admixtum eſſe.

Verſ. 28. *At ſerui — ea?*

Colligamus, violenter euellentes, ac gladiis demetentes.

Verſ. 29. *Ille autem — triticum.*

Prohibuit auferri haereticos, ne etiam pariter orthodoxi auferrentur. Futurum enim erat vt bella inuicem ac caedes orirentur.

Verſ. 30. *Sinite — meſſem.*

Vtrumque genus. Meſſem autem dicit mundi conſummationem. Iubet ergo vt vtriusque generis homines ſinant viuere creſcentes, auctosque numero in mundo vsque ad conſummationem. Veriſimile ſiquidem eſt, ante id tempus multos conuertendos haereticos: nec tamen ob hoc illis com-

³) ὡς καὶ. B.
⁴) καθαρίζοντες. A

Vers. 27. Προσελθόντες — ζιζάνια;

Οἰκοδεσπότης μὲν ἐστιν αὐτὸς, ὡς τοῦ κόσμου δεσπότης· δούλους δὲ αὐτοὺς ταῦτα λέγοντας πλάττει, τοὺς θερμοτέρους εἰς τὸν ὑπὲρ εὐσεβείας ζῆλον ὀρθοδόξους, οἱ πολλάκις ἀγανακτοῦντες ἐξαποροῦνται, πῶς ὁ θεὸς παραχωρεῖ τοιαῦτα φύεσθαι ζιζάνια.

Vers. 28. Ὁ δὲ — ἐποίησεν.

Ἄνθρωπον ὠνόμασε, τὸν διάβολον, ὡς οὐδὲν ἀνθρώπου διαφέροντα, κατὰ τὸ ἐμπαθὲς καὶ φιλήδονον, καὶ ὡς [5]) ἐπίσης ἀνθρώπῳ φιλοσωματοῦντα, καὶ τοῖς γηΐνοις ἀναφυρόμενον.

Vers. 28. Οἱ δὲ δοῦλοι — αὐτά;

Συλλέξομεν, ἀνασπῶντες βιαίως, καὶ ξίφεσιν ἐκθερίζοντες. [6])

Vers. 29. Ὁ δὲ — σῖτον.

Ἐκώλυσεν ἀναιρεῖσθαι τοὺς αἱρετικοὺς, διὰ τὸ μὴ συναναιρεῖσθαι καὶ τοὺς ὀρθοδόξους. ἔμελλον γὰρ πόλεμοι γίνεσθαι κατ' ἀλλήλων καὶ σφαγαί.

Vers. 30. Ἄφετε — θερισμοῦ.

Ἀμφότερα τὰ γένη. θερισμὸν δὲ λέγει, τὴν τοῦ κόσμου συντέλειαν. κελεύει οὖν ἐᾶν ἀμφότερα τὰ γένη ζῆν, συναυξανόμενα ἐν τῷ κόσμῳ, μέχρι συντελείας· εἰκὸς γὰρ, πολλοὺς τῶν αἱρετικῶν ἄχρι τότε μεταβληθῆναι· οὐ μὴν διὰ τοῦτο [7]) συναναμίγνυσθαι τοῖς αἱρετικοῖς. εὐρύχωρος γὰρ ὁ

 κόσμος,

7) χρὴ, addit. A. Ita quoque Hentenius, qui oportet habet. Licet autem intelligere κελεύει.

commisceri oportet: spatiosus enim est hic mundus: et illos per se viuere oportet, non ablatos quidem, sed separatos, ne docendo corrumpant quod seminatum est triticum.

Vers. 30. *Et — messoribus:*

Messores nunc Angelos nominat.

Vers. 30. *Colligite — zizania.*

Metite falce mortis inuenta tunc zizania. Quare autem primum? Ne etiam tunc viuentes orthodoxi simul cum haereticis mixtim demessi, prauam concipiant spem.

Vers. 30. *Et — fasciculos.*

Colligate eos inuicem. Ostendit autem sermo quod hi qui in eodem peccato communicant, etiam in supplicio communicaturi sunt eodem, simulque vltionem sustinebunt.

Vers. 30. *Ad — meum.*

Similia quoque baptista Sadducaeis ac Pharisaeis comminatus est tertio capite, dicens de Christo, quod etiam triticum suum congregabit in horreum suum; paleam autem comburet igni inextinguibili. Quaere ergo ibi, et inuenies quid appellet combustionem, quid horreum. Superfluum enim est, semel declarata, rursum eodem modo interpretari.

Vers. 31.

8) δεῖταί. A. male.

9) Θερίσατε πρῶτον τῦ θανάτυ τῷ δρεπάνῳ τά. A. Πρῶτόν probandum et propter textum euangelii, et propter interpretationem.

κόσμος, καὶ δεῖ[8]) αὐτοὺς καθ᾽ ἑαυτοὺς ζῆν, μὴ ἀναιρουμένους μὲν, ἀφαιρουμένους δὲ τὸ διδάσκειν καὶ λυμαίνεσθαι τῷ σίτῳ τοῦ σπείραντος.

Verſ. 30. Καὶ — θερισαῖς·

Θεριστὰς νῦν ὀνομάζει, τοὺς ἀγγέλους.

Verſ. 30. Συλλέξατε — ζιζάνια.

Θερίσατε τῷ[9]) δρεπάνῳ τοῦ θανάτου τὰ εὑρισκόμενα τότε ζιζάνια. διατί δὲ πρῶτον; ἵνα μὴ καὶ οἱ ζῶντες τηνικαῦτα ὀρθόδοξοι, συνεκθεριζόμενοι τοῖς αἱρετικοῖς ἀναμὶξ, πονηρὰς ἕξουσιν ἐλπίδας.

Verſ. 30. Καὶ — δεσμάς.

Συνδήσατε αὐτοὺς ἀλλήλοις. ἐμφαίνει δὲ ὁ λόγος, ὅτι οἱ κοινωνοὶ τῆς αὐτῆς ἁμαρτίας, κοινωνοὶ καὶ τῆς αὐτῆς κολάσεως γενήσονται, καὶ ὁμοῦ τὴν τιμωρίαν ὑφέξουσι.

Verſ. 30. Πρὸς — μου.

Τὰ παραπλήσια καὶ ὁ βαπτιστὴς ἠπείλησε τοῖς σαδδουκαίοις καὶ φαρισαίοις, ἐν τῷ τρίτῳ κεφαλαίῳ, εἰπὼν περὶ τοῦ χριστοῦ, ὅτι καὶ[r]) συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. καὶ ζήτησον ἐν ἐκείνῳ, καὶ εὑρήσεις, τί μὲν λέγει κατάκαυσιν, τί δὲ ἀποθήκην. περιττὸν γὰρ, τὰ ἅπαξ ἑρμηνευθέντα πάλιν ὁμοίως ἐφερμηνεύειν.

r) Matth. 3, 12.

Verſ. 31. *Aliam — ſuo.*

† Grano ſinapis praedicationem comparauit, et ob paruam apparentiam, et ob vilitatem dictionis ſeu phraſis: quae in tantum creuit, vt attica ac mirabilis ad ratiocinandum Graecorum philoſophia, occultata ſit magnitudine euangelii, quod ruſticitatem prae ſe ferebat.

Regnum coelorum nunc dicit ſermonem fidei, tanquam regni coelorum arrhabonem. Comparat autem illum grano ſinapis: quia breuis et paucis incluſus ſeminabatur[1], eo quod non poſſent diſcipuli in principio maiora ferre. Hinc eſt quod et propheta ſermonem abbreuiatum olim illum appellauit. Verum poſtquam ab agricola cultus, diuini ſpiritus irrigationibus creuerit, omnem alium excedit ſermonem, ac omnibus excelſior apparet. Per hanc vero parabolam praedicationis augmentum praenuntiat. De homine autem qui ſeminauit et de agro, in praecedenti parabola diſſeruimus. Dicitur autem mundus ager, ob hanc etiam cauſam, quia ſeminatur ac colitur in eo rationale frumentum.

† Haec dictio parabola ſignificat quandoque narrationem[2], vt quum dicitur: Poſuit nos in parabolam in gentibus. Interdum autem aenigmaticum ſermonem, vt eſt illud: Intelligere parabolam et obſcurum ſermonem. Significat praeterea ſimilitudinem, veluti ſunt haec, quae hic proponuntur. Ad haec deſignat tropologiam, vt eſt illud: Fili hominis dic illis parabolam hanc: Aquila magna magnarum alarum, vocans aquilam regnum Aſſyriorum. Inſuper ſignificat figuram, vt quan-

[1]) Incluſa, in marg. habet. A.

[2]) Hoc ſcholium inferius, ante verſ. 36. exhibet Hentenius. Habet autem meus B. in margine.

Verſ. 31. Ἄλλην — αὐτοῦ.

[Κόκκῳ [1]) σινάπεως παρείκασε τὸ κήρυγμα, καὶ διὰ τὸ μικροπρεπὲς καὶ εὐτελὲς τῶν λέξεων, ὃ τοσοῦτον ηὐξήθη, ὥστε τὴν ἀττικίζουσαν καὶ δεινὴν συλλογίζεσθαι σοφίαν τῶν ἑλλήνων ἀποκρυβῆναι τῷ μεγέθει τοῦ ἀγροικιζομένου εὐαγγελίου.]

Βασιλείαν δὲ τῶν οὐρανῶν λέγει νῦν, τὸν λόγον τῆς πίστεως, ὡς ἀῤῥαβῶνα τῆς βασιλείας τῶν οὐρανῶν. ἀπεικάζει δὲ αὐτὸν κόκκῳ σινάπεως, διότι βραχὺς μὲν καὶ εὐπερίγραφος σπείρεται, μὴ δυναμένων τῶν μαθητῶν βαστάζειν ἐν ἀρχῇ πλεῖον. καὶ γὰρ καὶ ὁ προφήτης πάλαι, λόγον s) συντετμημένον αὐτὸν ἐκάλεσεν. ὅταν δὲ γεωργηθεὶς αὐξήσῃ ταῖς ἀρδείαις τοῦ θείου πνεύματος, ὑπερβάλλει πάντα λόγον, καὶ ὑψηλότερος ὅλων φαίνεται. διὰ δὲ τῆς παραβολῆς ταύτης προαναφωνεῖ τὴν αὔξησιν τοῦ κηρύγματος. περὶ δὲ τοῦ σπείροντος ἀνθρώπου, καὶ τοῦ ἀγροῦ, ἐν τῇ πρὸ ταύτης παραβολῇ προδιελάβομεν. ἀγρὸς δὲ, ὁ κόσμος λέγεται, καὶ διὰ τὸ γεωργεῖσθαι ἐν αὐτῷ τὸν λογικὸν σῖτον.

s) Ieſ. 10, 23.

[Ἡ [2]) παραβολὴ σημαίνει, καὶ τὸ διήγημα, ὡς τὸ, ἔθου t) ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι· καὶ τὸν αἰνιγματώδη λόγον, ὡς τὸ, v) νοῆσαί [3]) τε παραβολὴν καὶ σκοτεινὸν λόγον· καὶ τὴν ὁμοίωσιν, ὡς τὰ προκείμενα ταῦτα· καὶ τὴν τροπολογίαν, ὡς τὸ, υἱὲ x) ἀνθρώπου, εἰπὲ αὐτοῖς τὴν παραβολὴν ταύτην· ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος· ἀετὸν λέγων, τὸν βασιλέα τῶν ἀσσυρίων· σημαίνει δὲ καὶ τὸν τύπον, ὡς ὅταν λέγῃ παῦλος περὶ τοῦ ἀβραάμ, ὅτι τὸν y) μονογενῆ προσ-

t) Pſ. 43, 15.
v) Proverb. 1, 6.
x) Ezech. 17, 2, 3.
y) Hebr. 11, 17. 19.

[3]) Loco laudato eſt, νοήσει τε.

quando dicit Paulus de Abraham quod obtulit filium, qui iuxta promissiones susceptus erat. Vnde in parabolam, inquit, recepit eum.

Vers. 32. *Quod — est.*

Minimum quidem est quantitate, sed maximum qualitate siue virtute: ideo quoque in magnitudinem excrescit. Ad huius seminis similitudinem et discipuli cum paruus grex essent, in magnum excreuerunt.

Vers. 32. *Et fit — eius.*

Haec dixit ad demonstrationem magnitudinis ac firmitatis eius. Quidam vero ramos sermonis fidei, dixerunt homines credentes, in quibus aues coeli siue angeli nidificant, seruantes eos.

Alii autem dicunt ramos esse virtutes quas germinare solet fidei sermo: aues vero eos qui terrena supergrediuntur, atque ala mentis eleuantur ad cognitionis altitudinem, († † et ad coelum properant.)

Vers. 33. *Aliam — fermento.*

Per sinapis parabolam, fidei crementum prius demonstrauit, quod fit additione eorum qui quotidie credunt: per parabolam vero fermenti, vim eius prodit. Regnum enim coelorum rursum pro fidei sermone sumendum est.

Vers. 33.

†) Haec aberant apud Hentenium.

προσέφερεν, ὁ τὰς ἐπαγγελίας δεξάμενος. ὅθεν ἐν παραβολῇ αὐτὸν ἐκομίσατο, τουτέστιν, ἐν τύπῳ, ἐν εἰκόνι.]

Vers. 32. Ὃ — ἐστίν.

Ὅπερ, σπέρμα δηλονότι, σμικρότατον μέν ἐστι τῇ ποσότητι, μέγιστον δὲ τῇ ποιότητι, εἴτουν, τῇ δυνάμει. διὸ καὶ εἰς μέγεθος ἐπιδίδωσι. κατὰ τὴν ὁμοιότητα γοῦν τοῦ σπέρματος τούτου καὶ οἱ μαθηταὶ, ποίμνιον ὄντες ὀλίγον, εἰς ἄπειρον ηὐξήθησαν.

Vers. 32. Καὶ γίνεται — αὐτοῦ.

Ταῦτα εἶπεν, εἰς ἔμφασιν τοῦ μεγέθους, καὶ τῆς στερεότητος αὐτοῦ. τινὲς δὲ κλάδους τοῦ λόγου τῆς πίστεως εἶπον, τοὺς πιστεύοντας ἀνθρώπους, ἐν οἷς κατασκηνοῦσι τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἤγουν, οἱ ἄγγελοι φυλάττοντες αὐτούς.

Ἕτεροι δὲ φασι, κλάδους μὲν, τὰς ἀρετὰς, ἃς βλαστάνειν εἴωθεν ὁ λόγος τῆς πίστεως· πετεινὰ δὲ, τοὺς ὑπερβαίνοντας τὰ γηηρὰ πράγματα, καὶ τῷ πτερῷ τοῦ νοῦ κουφιζομένους εἰς ὕψος γνώσεως, καὶ [4]) πρὸς τὸν οὐρανὸν ἐπειγομένους.

Vers. 33. Ἄλλην — ζύμῃ.

Διὰ μὲν τῆς παραβολῆς τοῦ σινάπεως, τὴν αὔξησιν τῆς πίστεως προηγόρευσε, τὴν διὰ τῆς προσθήκης τῶν ἑκάστοτε πιστευόντων· διὰ δὲ τῆς παραβολῆς τῆς ζύμης, τὴν ἰσχὺν αὐτῆς προκηρύττει. βασιλείαν γὰρ τῶν οὐρανῶν πάλιν, τὸν λόγον τῆς πίστεως ὑποληπτέον.

Vers. 33.

Verſ. 33. *Quod — tribus.*

Satum (quod etiam Graeci σάτον dicunt) genus erat menſurae apud Hebraeos. Tria vero nunc dixit multa: nam ſaepius per numerum trium, multa ſignificare ſolent. Et mulier intelligitur ſapientia, ſiue ipſe Chriſtus, eo quod fertilis ſit ac nutriat. Fideles ſiquidem per baptismum generat, eosque cibo dogmatum fidei enutrit. Fermento autem comparatur ſermo fidei. Sicut enim fermentum quum ſit modicum, in multa tamen farina abſconditum, per conſperſionem totam farinam in vnum ſimul corpus vnit, et in alteram ſpeciem, ab ea quam prius habebat, transmutat: quumque farina res ſit mortua, eam quodammodo viuificat, ac vim habens actiuam, ſurſum aſcendere facit. Ita quoque fidei ſermo, quum vt dictum eſt, quantitate ſit modicus, in multorum hominum animabus occultatus per doctrinam, omnes in vnum vnit eccleſiae corpus, ac in alteram conuerſationis ſpeciem transmutat: quumque mortui ſint ad opera virtutis, viuificat ad eius operationem: et ſurſum aſcendere facit ad coelum, omniaque efficit ſua ineffabili potentia.

Verſ. 33. *Donec — totum.*

Neque enim in hominum animabus occultatum quieſcet, donec omnes in vnum vnierit, quos ſapientia illa praefiniuit, quae omnium mentes praecognouit. Nam tria ſata quanquam ſignificatione multitudinem demonſtrent, attamen numero tandem definita ſunt. Magna ergo eſt praedicationis virtus: quodque ſemel fermentatum eſt, rurſum reliquae parti fermentum fiet. Quidam autem farinam

Vers. 33. Ἣν — τρία.

Σάτον μέν ἐστιν, εἶδος μέτρου παρ' ἑβραίοις. τρία δὲ, τὰ πολλὰ νῦν εἴρηκεν. εἰώθασι γὰρ πολλάκις διὰ τοῦ ἀριθμοῦ τῶν τριῶν, τὰ πολλὰ σημαίνειν. καὶ γυνὴ μὲν νοεῖται, ἡ σοφία, ἤγουν, ὁ χριστὸς, διὰ τὸ γόνιμον καὶ τρόφιμον. γεννᾷ γὰρ τοὺς πιστοὺς διὰ τοῦ βαπτίσματος, καὶ τρέφει αὐτοὺς τῇ βρώσει τῶν δογμάτων τῆς πίστεως· ζύμη δὲ, ὁ λόγος τῆς πίστεως παρεικάζεται, διότι καθάπερ ἡ ζύμη, ὀλίγη τις οὖσα, καὶ εἰς πολὺ ἄλευρον ἐγκρυβεῖσα, διὰ τῆς ἀναφυράσεως ὅλον τὸ ἄλευρον εἰς ἓν σῶμα συνενοῖ, καὶ εἰς ἕτερον εἶδος, παρὸ πρότερον εἶχε, μεθιστᾷ, καὶ νεκρὸν ὂν, τρόπον τινὰ, ζωοῖ, καὶ ἄνω βαίνειν παρασκευάζει, δύναμιν ἔχουσα δραστικήν· οὕτω καὶ ὁ λόγος τῆς πίστεως, ὀλίγος ὢν, ὡς προείρηται τῇ ποσότητι, καὶ ἐγκρυπτόμενος ψυχαῖς πολλῶν ἀνθρώπων διὰ τῆς διδασκαλίας, πάντας εἰς ἓν σῶμα τῆς ἐκκλησίας συνενοῖ, καὶ εἰς ἕτερον εἶδος πολιτείας μεθιστᾷ, καὶ νεκροὺς ὄντας, εἰς ἐνέργειαν ἀρετῆς, ζωοῖ πρὸς ἐργασίαν αὐτῆς, καὶ ἄνω βαίνειν πρὸς οὐρανὸν παρασκευάζει, καὶ πάντα ποιεῖ, δύναμιν ἔχων ἄφατον.

Vers. 33. Ἕως — ὅλον.

Οὐ στήσεται γὰρ, ἐγκρυπτόμενος ταῖς ψυχαῖς τῶν ἀνθρώπων, ἕως οὗ ἑνωθῶσιν εἰς ἓν πάντες, οὓς προώρισεν ἡ πάντων τὰς γνώμας προγινώσκουσα σοφία. τὰ γὰρ τρία σάτα, εἰ καὶ τῇ ἐμφάσει πλῆθος δηλοῦσιν, ἀλλὰ τῷ ἀριθμῷ πεπερατωμένα τέως εἰσί. πολλὴ οὖν τοῦ κηρύγματος ἡ δύναμις, καὶ τὸ ζυμωθὲν ἅπαξ, ζύμη πάλιν τῷ λοιπῷ μέρει γίνεται. τινὲς δὲ ἄλευρον μὲν λέγουσι,

τοὺς

rinam dicunt homines: sata vero tria siue tres mensuras, Iudaeos, Samaritanos et Graecos.

Vers. 34. *Haec — v. 35. seculi.*

Sine parabola non loquebatur eis, tempore illo videlicet: multa enim saepius illis loquutus est sine parabolis: tunc autem per parabolas loquebatur eis, vt compleretur quod dictum fuerat per Dauid. At translatio septuaginta interpretum habet φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς, loquar problemata siue propositiones obscuras ab initio. Qui vero praesens euangelium in graecam transtulit linguam, dixit ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου, eructabo abscondita a constitutione seculi, hebraicis haerens dictionibus, quae et haec et illa significant. Sicut eructo significat etiam loquor: et illi προβλήματα dixerunt αἰνίγματα, sicut et Aquila testatus est. Aenigmata vero sunt etiam euangelicae parabolae. Quemadmodum enim aenigmata absconditam habent veritatem, ita sane et illae. Quod autem dicitur, A constitutione seculi, idem significat quod, Ab initio mundi. Marcus vero dixit: Et huiusmodi parabolis multis loquebatur eis sermonem, prout poterant audire, hoc est quatenus digni erant ad audiendum scribae et pharisaei: Nam quia non ad sumendam vtilitatem audiebant, sed ad struendam sermonibus eius calumniam: in parabolis loquutus est eis: vt et ipse suum opus adimpleret, et illi non intelligentes quae diceret, per illa nihil proficerent.

Vers. 36. *Tunc — Iesus.*

In domum, vbi hospitabatur.

Vers. 36.

[5]) Qui scilicet et ipse hoc loco habet αἰνίγματα.

τοὺς ἀνθρώπους· σάτα δὲ, ἤτοι, μέτρα τρία, τοὺς ἰȣδαίους, τοὺς σαμαρείτας, καὶ τοὺς ἕλληνας.

Verſ. 34. Ταῦτα — v. 35. κόσμου.

Χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατὰ τὸν καιρὸν ἐκεῖνον δηλαδή. πολλὰ γὰρ πολλάκις ἐλάλησεν αὐτοῖς, δίχα παραβολῆς· τότε δὲ διὰ παραβολῶν ἐλάλει αὐτοῖς, ἵνα πληρωθῇ καὶ τὸ ῥηθὲν διὰ τοῦ δαυΐδ. ἀλλ' ἡ μὲν ἑρμηνεία τῶν ἑβδομήκοντα, φθέγξομαι z) προβλήματα ἀπ' ἀρχῆς, ἔγραψεν· ὁ δὲ τὸ παρὸν εὐαγγέλιον εἰς τὴν ἑλλάδα γλῶσσαν μεταβαλὼν, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου, εἴρηκε, ταῖς ἑβραϊκαῖς λέξεσι προσχὼν, αἵτινες καὶ ταῦτα κἀκεῖνα δηλοῦσι. καὶ τὸ ἐρεύγομαι γὰρ, τὸ φθέγγομαι σημαίνει. καὶ προβλήματα ἐκεῖνοι, τὰ αἰνίγματα εἶπον, ὡς καὶ ὁ ſ) ἀκύλας ἐμαρτύρησεν. αἰνίγματα δέ εἰσιν, καὶ αἱ εὐαγγελικαὶ παραβολαί. καθάπερ γὰρ τὰ αἰνίγματα κεκρυμμένην ἔχȣσι τὴν ἀλήθειαν· ȣ̈τω δὴ καὶ αὗται. καὶ τὸ ἀπὸ καταβολῆς δὲ κόσμου, τὸ ἀπ' ἀρχῆς κόσμου δηλοῖ. ὁ δὲ μάρκος εἶπεν, ὅτι a) καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκȣ́ειν, τȣτέστι, καθὼς ἦσαν ἄξιοι ἀκούειν οἱ γραμματεῖς καὶ φαρισαῖοι. ἐπεὶ γὰρ ȣ̓ διὰ τὸ ὠφεληθῆναι ἠκροῶντο, ἀλλὰ διὰ τὸ ἐπηρεάσαι τοῖς αὐτοῦ λόγοις, ἐν παραβολαῖς αὐτοῖς ἐλάλησεν, ἵνα καὶ αὐτὸς τὸ οἰκεῖον ἔργον εἴη πληρῶν, καὶ αὐτοὶ μὴ νοοῦντες, ἃ λέγει, μείνωσιν ἄπρακτοι.

z) Pſ. 77, 2.

a) Marc. 4, 33.

Verſ. 36. Τότε — ἰησοῦς.

Εἰς τὴν οἰκίαν, ἐν ᾗ ἐξενοδοχεῖτο.

Verſ. 36. *Et acceſſerunt — agri.*

Seorſim libere interrogabant, vt qui prius audierant datum illis eſſe vt noſſent myſteria. De ſola vero hac parabola interrogant, vtpote reliquas duas intelligentes, puta de ſinapi et de fermento, tanquam manifeſtiores: haec autem formidabiliores circa finem minas habebat, quae ipſos exterrebant.

Verſ. 37. *Reſpondens autem — hominis.*

Filium hominis ſeipſum nominat, propter humanitatem ſuam quae apparebat: et hoc frequenter dicit, confirmans quod vere humanitatem aſſumpſerit. Erit ergo tibi hoc deinceps manifeſtum.

Verſ. 38. *Ager vero — mundus.*

Superius de hoc praedictum eſt.

Verſ. 38. *Bonum vero — ſunt.*

†† Quinam hi?

Verſ. 38. *Filii regni.*

Filii regni dicuntur, qui rectam ſeruant fidem: vtpote a rege Chriſto ſeminati ad colendam virtutem, et ad poſſidendum eius regnum. Filii vero mali illius, ſunt haeretici, tanquam a diabolo ſeminati ad colendam prauitatem, et ſimiliter ad poſſidendum ignem ipſi praeparatum.

Verſ. 38.

[6]) Hoc exciderat in Codice Hentenii.

Verſ. 36. Καὶ προσῆλθον — ἀγρȣ̃.

Κατὰ μόνας μετὰ παῤῥησίας ἐρωτῶσιν, ὡς ἀκούσαντες πρότερον, ὅτι αὐτοῖς δέδοται γνῶναι τὰ μυστήρια. περὶ μόνης δὲ ταύτης τῆς παραβολῆς ἐρωτῶσιν, ὡς τὰς ἄλλας δύο συνέντες, τήν τε τοῦ σινάπεως, καὶ τὴν τῆς ζύμης, ἅτε σαφεστέρας οὔσας. αὕτη δὲ καὶ φοβερὰν εἶχεν ἀπειλὴν ἐπὶ τέλει, θορυβȣ̃σαν αὐτούς.

Verſ. 37. Ὁ δὲ ἀποκριθεὶς — ἀνθρώπου.

Ὑιὸν ἀνθρώπου, ἑαυτὸν ὀνομάζει, διὰ τὴν φαινομένην ἐνανθρώπησιν αὐτοῦ. καὶ τοῦτο συνεχῶς λέγει, βεβαιῶν, ὅτι κατὰ ἀλήθειαν ἐνηνθρώπησε, καὶ ἔστω σοι τοῦτο τȣ̃ λοιποῦ γνώριμον.

Verſ. 38. Ὁ δὲ ἀγρὸς — κόσμος.

Ἀνωτέρω περὶ τούτȣ προείρηται.

Verſ. 38. Τὸ δὲ καλὸν — εἰσιν.

Τίνες[6]) οὗτοι;

Verſ. 38. Οἱ υἱοὶ τῆς βασιλείας.

Ὑιοὶ μὲν τῆς βασιλείας λέγονται, οἱ ὀρθόδοξοι, ὡς ὑπὸ τȣ̃ βασιλέως χριστοῦ σπαρέντες εἰς γεωργίαν ἀρετῆς, καὶ [7]) κληρονομεῖν τῆς βασιλείας αὐτοῦ μέλλοντες· υἱοὶ δὲ τοῦ πονηροῦ, οἱ αἱρετικοὶ, ὡς ὑπὸ τȣ̃ διαβόλȣ σπαρέντες εἰς γεωργίαν κακίας, καὶ κληρονομεῖν τοῦ ἡτοιμασμένου αὐτῷ πυρὸς μέλλοντες ὁμοίως.

7) Bis hoc loco κληρονομεῖν, pro κληρονομίαν, duriuscule. Sed nihil tentandum.

Verſ. 38. *Zizania vero — mali.*

Modo de illis dictum eſt.

Verſ. 39. *Inimicus autem — ſunt.*

Etiam de his praediximus. Te autem meminiſſe oportet, quod decimo octauo capite meſſem vocauerit eos qui credituri erant, veluti paratos vt colligerentur: meſſores autem qui illos colligebant, Apoſtolos: in praeſenti vero loco meſſem dicit ſeculi conſummationem propter exciſionem a vita mortali: meſſores autem angelos, qui ab ea ſunt illos exciſuri. Similiter et ſemen ſuperius ſermonem fidei nuncupauit: in hac vero parabola eos qui crediderunt: iuxta alium videlicet et alium intellectum. Qui enim credidit et triticum dicitur, tanquam fructus primi ſeminis, verbi ſcilicet fidei: poterit nihilominus dici ſemen, vtpote rurſus alterum ad fidem fructificans. Non eſt autem interpretatus quinam ſint dormientes homines, et qui ſerui patrisfamilias, ſed illos praetermiſit, aut tanquam manifeſtos: aut etiam docens quod non oporteat parabolas ad verbum interpretari, vt ait Chryſoſtomus[8], ſed tantum in locis maxime neceſſariis[9], propter quae etiam aſſumuntur: Nam reliqua eo tantum fine pariter adduntur, vt apte effingantur. Nec iam vacat periculo, etiam haec curioſe ſcrutari.

Verſ. 40. *Sicut — huius.*

†† Deinde dicit, quomodo erit.

Verſ. 41.

[8]) Tom. VII. p. 487. E.
[9]) ἀναγκαιότατα. A.
†) Haec exciderant in verſione Hentenii.

Verſ. 38. Τὰ δὲ ζιζάνια — πονηροῦ.

Εἴρηται ἤδη περὶ τούτων.

Verſ. 39. Ὁ δὲ ἐχθρὸς — ἐστιν.

Καὶ περὶ τούτων προδιελάβομεν. χρὴ δέ σε μνημονεύειν, ὅτι ἐν τῷ ἑκτωκαιδεκάτῳ κεφαλαίῳ, θερισμὸν μὲν ἐκάλεσε, τοὺς πιστεῦσαι μέλλοντας, ὡς ἑτοίμους εἰς τὸ συγκομισθῆναι· θεριστὰς δὲ, τοὺς συγκομίζοντας αὐτοὺς ἀποστόλους. ἐν δὲ τῷ παρόντι, θερισμὸν μὲν, τὴν συντέλειαν τοῦ κόσμου, διὰ τὴν ἀπὸ τῆς ἐπικήρου ζωῆς ἐκτομὴν τῶν ἀνθρώπων· θεριστὰς δὲ, τοὺς ἐκτέμνοντας αὐτοὺς ἀπ' αὐτῆς ἀγγέλους. ὁμοίως δὲ καὶ σπέρμα, ὀπίσω μὲν, τὸν λόγον τῆς πίστεως ὠνόμασεν· ἐν δὲ τῇ προκειμένῃ παραβολῇ, αὐτοὺς τοὺς πιστεύσαντας κατ' ἄλλην καὶ ἄλλην ἔννοιαν. ὁ γὰρ πιστεύσας λέγεται μὲν καὶ σῖτος, ὡς καρπὸς τοῦ πρώτου σπέρματος, ἤτοι, τοῦ λόγου τῆς πίστεως. λέγοιτο δ' ἂν καὶ σπέρμα, ὡς καρποφορῶν πάλιν ἕτερον εἰς πίστιν. οὐχ ἡρμήνευσε δὲ, τίνες μὲν εἰσιν οἱ καθεύδοντες ἄνθρωποι, τίνες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, ἀλλὰ παρῆκεν αὐτοὺς, ἢ ὡς ἐγνωσμένους, ἢ καὶ διδάσκων, ὅτι οὐ χρὴ τὰς παραβολὰς κατὰ [8]) ῥῆσιν ἑρμηνεύειν, ὥς φησιν ὁ Χρυσόστομος, ἀλλὰ κατὰ μόνα τὰ ἀναγκαιότερα [9]) μέρη, δι' ἃ καὶ παραλαμβάνονται. τἄλλα γὰρ, διὰ μόνον τὸ πλασθῆναι ταύτας πιθανῶς, συμπαραλαμβάνονται, καὶ λοιπὸν οὐκ ἀκίνδυνον, τὸ καὶ ταῦτα πολυπραγμονεῖν.

Verſ. 40. Ὥσπερ — τούτου.

Εἶτα [r]) λέγει, πῶς ἔσται.

Verſ. 41. *Mittet — iniquitatem*

Regnum ſuum vocat mundum, vt qui natura illi imperet iuxta diuinitatem: aut tanquam data ſibi omni poteſtate in coelo et in terra. Offendicula vero, eosdem dicit quos et operantes iniquitatem. Colligent autem eos, quum illi ex mortuis reſurgent. Scire enim oportet, quod ſimul cum his reſurgent et iuſti. Verum antequam illi colligantur, rapientur hi in nubibus in occurſum Domini in aere, ſicut dixit Paulus: illi vero deorſum relicti quaſi indigni, colligentur poſtquam ipſe deſcenderit. Et primum quidem boni ac iuſti comprobabuntur, deinde mali condemnabuntur. Poſt has vero datas ſententias primo ſane peccatores reiicientur in ſupplicium aeternum: deinde iuſti in vitam aeternam, ſicut dicit ſexageſimo primo capite.

Verſ. 42. *Et — ignis.*

Per ſe quidem ſeminat, oſtendens quod ſibi proprium eſt beneficia praeſtare: per alios vero ſupplicium infert, demonſtrans quod ſit a ſe alienum punire.

Verſ. 42. *Ibi — dentium.*

Ibi in camino ignis ſempiterni: vel in illis qui punientur. Per fletum autem ſtridoremque dentium, vehementem dolorem demonſtrauit.

Verſ. 43. *Tunc — patris ſui.*

Verum quum tunc futurum ſit vt Dei ſplendor illos circumdet: vtique ipſi conformes erunt ac diuini reddentur: et conſequens eſt, vt ſole ſplendi-
dio-

Verſ. 41. Ἀποστελεῖ — ἀνομίαν.

Βασιλείαν αὐτοῦ φησὶ, τὸν κόσμον, ὡς φύσει βασιλεύων αὐτοῦ, κατὰ τὴν θεότητα, ἢ καὶ ὡς δοθείσης αὐτῷ πάσης ἐξουσίας ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· σκάνδαλα δὲ καὶ ποιοῦντας τὴν ἀνομίαν, τοὺς αὐτοὺς ὀνομάζει. συλλέξουσι δὲ αὐτοὺς, ἀναστάντας ἐκ νεκρῶν ἤδη. χρὴ γὰρ γινώσκειν, ὅτι ἅμα μὲν τούτοις ἀναστήσονται καὶ οἱ δίκαιοι. πρὸ δὲ τῆς συλλογῆς τούτων ἐκεῖνοι μὲν [b]) ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καθὼς εἶπε παῦλος· οὗτοι δὲ, κάτω απολειφθέντες, ὡς ἀνάξιοι, μετὰ τὸ κατελθεῖν αὐτὸν συλλεγήσονται. καὶ πρῶτον μὲν ἐκεῖνοι δικαιωθήσονται· εἶτα οὗτοι καταδικασθήσονται. καὶ λοιπὸν, μετὰ τὰς τοιαύτας ἀποφάσεις, πρῶτον μὲν οἱ ἁμαρτωλοὶ ἀπελεύσονται εἰς κόλασιν αἰώνιον· εἶτα οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, ὡς ἐν τῷ ἑξηκοστῷ πρώτῳ κεφαλαίῳ φησί.

b) 1 Theſſ. 4, 17.

Verſ. 42. Καὶ — πυρός.

Δι' ἑαυτοῦ μὲν σπείρει, δεικνύων, ὅτι οἰκεῖον αὐτοῦ τὸ εὐεργετεῖν· δι' ἑτέρων δὲ κολάζει, παριστῶν, ὅτι ἀλλότριον αὐτοῦ τὸ κολάζειν.

Verſ. 42. Ἐκεῖ — ὀδόντων.

Ἐκεῖ, ἐν τῇ καμίνῳ τοῦ αἰωνίου πυρός· ἢ ἐν αὐτοῖς. διὰ δὲ τοῦ κλαυθμοῦ καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, τὴν ἄφατον ὀδύνην ἐνέφηνε.

Verſ. 43. Τότε — τοῦ πατρὸς αὐτῶν.

Καὶ μὴν, τῆς αἴγλης τοῦ θεοῦ τότε προσβαλούσης αὐτοῖς, μετατυποῦνται πρὸς αὐτὴν, καὶ θεοειδεῖς γίνονται, καὶ ἀκόλουθόν ἐστι, λαμπρό-

diores efficiantur. Quomodo ergo dicit, ficut fol? Quia noto apud illos exemplo vtendum erat: nec quicquam illis notum erat, quod effet fole fplendidius.

Verf. 43. *Qui — audiat.*

Hoc frequenter dictis addit, excitans illos quo reddantur perfpicatiores.

Verf. 44. *Rurfum — illum.*

Quare turbis non praefentibus, in parabolis adhuc loquebatur difcipulis? Quia fciebat iam illos per ea quae dicta funt fapientiores effectos, ita vt poffent intelligere. Ideo etiam poft finem parabolarum ait eis: Intellexiftis haec omnia? dicunt ei: Etiam Domine.

Sicut autem in duabus fupra pofitis parabolis de finapi et de fermento, regnum coelorum dicebat fidei fermonem: ita quoque in ifta. Comparat autem ipfum thefauro propter fpiritus fancti diuitias, quae in illo funt. Ager autem eft mundus vt praedictum eft. Scito ergo in mundo abfconditam effe fidem: in fide vero diuitias fpiritus.

Et caetera quidem parabolae, prout dicta funt relinque. Confidera autem quo modo is qui hunc ditantem thefaurum reperit, fiue cognouit illum, ftudiofe conatur: (nam hoc indicat quod dicitur, Abit) et cum gaudio cuncta quae habet diftrahit: vt hunc folum lucrifaciat. Et intellige quod omnes doceat huiusmodi parabola, non folum ne contriftentur abiectis fiue erogatis omnibus quae poffident pro fide, fed etiam vt cum gaudio hoc

[2]) ἁγίου, abeft. A.

τερον ἡλίου λάμπειν αὐτούς. πῶς οὖν φησὶν, ὡς ὁ ἥλιος; διότι γνωρίμῳ πρὸς αὐτοὺς ἔδει χρήσασθαι παραδείγματι. οὐκ ἦν δὲ οὐδὲν τῶν γνωρίμων αὐτοῖς ἡλίου λαμπρότερον.

Verſ. 43. Ὁ — ἀκυέτω.

Τοῦτο πολλάκις ἐπιλέγει, παροξύνων αὐτοὺς εἰς τὸ γίνεσθαι διορατικωτέρους.

Verſ. 44. Πάλιν — ἐκεῖνον.

Διατὶ, τῶν ὄχλων μὴ παρόντων, ἐν παραβολαῖς ἔτι λαλεῖ τοῖς μαθηταῖς; διότι ἔγνω τούτους σοφωτέρους ἤδη γενομένους ἀπὸ τῶν εἰρημένων, ὡς καὶ συνιέναι δύνασθαι. διὸ καὶ μετὰ τὸ τέλος τῶν παραβολῶν λέγει αὐτοῖς· συνήκατε c) ταῦτα πάντα; λέγουσιν αὐτῷ· ναὶ κύριε. c) Matt. 13, 51.

Ὥσπερ δὲ ἐπὶ τῶν ἀνωτέρω κειμένων δύο παραβολῶν, τοῦ τε σινάπεως καὶ τῆς ζύμης, βασιλείαν οὐρανῶν ἔλεγε τὸν λόγον τῆς πίστεως· οὕτω καὶ ἐπὶ ταύτης. ἀπεικάζει δὲ αὐτὸν θησαυρῷ, διὰ τὸν ἐν αὐτῷ πλοῦτον τοῦ ἁγίου πνεύματος. ἀγρὸς δέ ἐστιν, ὁ κόσμος, ὡς προδεδήλωται· μάθε δὲ, ὅτι ἐν τῷ κόσμῳ μὲν κέκρυπται ἡ πίστις· ἐν τῇ πίστει δὲ, ὁ πλοῦτος τοῦ ἁγίου 2) πνεύματος.

Καὶ τὰ μὲν ἄλλα τῆς παραβολῆς ἔα, καθὼς προείρηται. σκόπει δὲ, πῶς ὁ εὑρὼν τοῦτον τὸν πλουτίζοντα θησαυρὸν, εἴτουν, ὁ ἐπιγνοὺς αὐτὸν, σπουδάζει· τοῦτο γὰρ ἐμφαίνει τὸ ὑπάγει, καὶ μετὰ χαρᾶς πάντα, ὅσα ἔχει, πωλεῖ, ἵνα μόνον κερδήσῃ τοῦτον· καὶ σύνες, ὅτι διδάσκει πάντας ἡ τοιαύτη παραβολὴ, μὴ μόνον μὴ λυπεῖσθαι προϊεμένους ὑπὲρ τῆς πίστεως πάντα, ὅσα ἔχουσιν, ἀλλὰ καὶ μετὰ χαρᾶς τοῦτο ποιεῖν,

hoc faciant: et hanc abiectionem siue amissionem, lucrum ducant maximum: quodque is qui aut illa non respuit, aut non cum gaudio respuit: non potest fidei lucrifacere thesaurum. In omnibus autem quae habet, intelliguntur quae in opere ac sermone, et in mente sunt peccata: quae omnia similiter vendere oportet, hoc est, relinquere.

Vers. 45. *Iterum* — *v. 46. illam.*

Regnum coelorum proprie intelligimus desiderium regni coelorum; et hominem quidem illud appellauit, eo quod in homine operatur. Negotiatorem vero, quia propriam negotiatur salutem. Vide enim quod vbi inuenit vnam preciosam margaritam, sermonem videlicet fidei: qui vnus est propter vnam fidei veritatem, et quia nullus alius est huiusmodi: πολύτιμος autem, id est, preciosus, quia multi precii, et quia multis honorabilis, qui videlicet illum cognouerunt: Abit, quod diligentiam ac festinationem manifestat: et relinquit omnia quibus antea fruebatur: eumque solum adipiscitur.

Hae autem duae parabolae in multis inuicem sunt similes: et breuiter in hoc solo differunt, quod illa fidei sermonem thesaurum vocabat, haec autem margaritam: sicut et duarum praecedentium parabolarum, vna quidem granum sinapis illum appellabat, altera vero fermentum. Et sicut per duas illas significauit incrementum vimque fidei, ita rursum per has duas, illius significauit diuitias et excellentiam. Crescit siquidem quasi granum sinapis: vim habet vt fermentum: ditat veluti the-

³) αὐτόν. B.

καὶ τὴν ἀποβολὴν ταύτην κέρδος ἡγεῖσθαι μέγιστον· καὶ ὅτι ὁ μὴ ἀποβάλλων αὐτὰ, καὶ ὁ μὴ μετὰ χαρᾶς ἀποβάλλων, οὐ δύναται κερδῆσαι τὸν τῆς πίστεως θησαυρόν. πάντα δὲ, ὅσα τις ἔχει, νοοῦνται, καὶ τὰ ἐν ἔργῳ, καὶ ἐν λόγῳ, καὶ κατὰ διάνοιαν ἁμαρτήματα, ἅπερ ὁμοίως χρὴ πωλεῖν, ὅ ἐστιν, ἀποκτᾶσθαι.

Verſ. 45. Πάλιν — v. 46. αὐτόν.

Βασιλείαν τῶν οὐρανῶν, ἰδιοτρόπως ἐνταῦθα νοοῦμεν, τὴν ἐπιθυμίαν τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ἄνθρωπον μὲν αὐτὴν [3]) εἶπεν, ὡς ἐν ἀνθρώπῳ ἐνεργοῦσαν· ἔμπορον δὲ, ὡς πραγματευομένην τὴν ἰδίαν σωτηρίαν. ὅρα γὰρ, ὅτι εὑροῦσα ἕνα πολύτιμον μαργαρίτην, ὅς ἐστιν ὁ λόγος τῆς πίστεως· ὁ εἷς μὲν, διὰ τὸ εἶναι μίαν τὴν ἀληθῆ πίστιν, καὶ διὰ τὸ μὴ εἶναι τοιοῦτον ἄλλον· πολύτιμος δὲ, ὡς κατὰ πολὺ τίμιος, [καὶ [4]) ὡς πολλοῖς ὢν τίμιος,] δηλαδὴ τοῖς εἰδόσιν αὐτόν· ἀπῆλθεν, ὃ δηλοῖ τὴν σπουδὴν, καὶ ἀπεκτήσατο πάντα, ὅσων ἀπήλαυε πρότερον, καὶ ἐκτήσατο τοῦτον μόνον.

Αἱ δύο δὲ αὗται παραβολαὶ τὰ πλείω ἀλλήλαις ἐοικυῖαι, βραχέα διαφέρουσιν, ὅτι ἡ μὲν θησαυρὸν, ἡ δὲ μαργαρίτην ὀνομάζει τὸν λόγον τῆς πίστεως. ὥσπερ ἄρα καὶ αἱ πρὸ τούτων δύο παραβολαὶ, ἡ μὲν κόκκον σινάπεως, ἡ δὲ ζύμην αὐτὸν ἐκάλεσε. καὶ καθάπερ διὰ τῶν δύο ἐκείνων ἐδήλωσεν ὁ Χριστὸς τὴν αὔξησιν καὶ τὴν ἰσχὺν τῆς πίστεως· οὕτω καὶ διὰ τῶν δύο τούτων πάλιν, τὸν πλοῦτον καὶ τὸ ἐξαίρετον αὐτῆς. αὔξει μὲν γὰρ, ὡς κόκκος σινάπεως· ἰσχύει δὲ, ὡς ζύμη· πλουτίζει

4) Incluſa abſunt. A.

thesaurus: eximia est tanquam margarita preciosissima. Reliqua vero quae in parabola habentur, non sunt nobis magnopere curanda. Ne autem de sola fide praesumamus, aut sufficere eam ad salutem credamus, addit et aliam parabolam, qua discimus quod non omnes qui credunt salui fiunt, sed multi eorum pereunt: Ait enim:

† Margarita etiam Dominus appellatus est, quia diuinitatis profunditati vnitus, et solis piscatoribus suisque discipulis cognitus est.

Vers. 47. *Rursum — congreganti.*

Regnum coelorum iterum vocat fidei sermonem: mare vero mundum propter amaritudinem vndasque tentationum. Omnimoda autem piscium genera sunt, variae multitudines inhabitantium in eo hominum, virorum, mulierum, puerorum, senum, coelibum, coniugatorum: aliorumque similium: aut etiam differentiae variae gentium.

Vers. 48. *Quod — abiecerunt.*

Quum impletum fuisset, hoc est, quando omnes crediderant: quidam voluntarii, quidam autem non voluntarii. Littus vero intelligit locum in quo iudicaturus est Dominus: colligentes autem angelos. Porro bona quae capta sunt iustos significant, praua autem malos: vasa vero ea quae solis iustis in haereditatem sunt reposita. Reliqua autem huius parabolae similiter non sunt magnopere curanda.

Vers. 49.

5) μὲν, addit. A.
6) addit Codex A. Φησὶ γάρ. Quae autem hic inclusa sunt, ea paullo ante habet in marg. Φησὶ γὰρ

ζει δὲ, ὡς θησαυρός· ἐξαίρετος δέ ἐστιν, ὡς διαφορώτατος μαργαρίτης. τἄλλα[5]) γὰρ τῆς παραβολῆς οὐ περιεργαστέον ἡμῖν. ἵνα δὲ μὴ θαῤῥῶμεν τῇ πίστει μόνῃ, μηδὲ ἀρκεῖν αὐτὴν εἰς σωτηρίαν νομίζωμεν, προστίθησι καὶ ἑτέραν παραβολὴν, δι' ἧς μανθάνομεν, ὅτι οὐ πάντες οἱ πιστεύοντες σώζονται, ἀλλὰ πολλοὶ τούτων ἀπόλλυνται.[6])

[Μαργαρίτης δὲ καὶ ὁ κύριος κέκληται, διότι τῷ βυθῷ τῆς θεότητος ἥνωται, καὶ μόνοις τοῖς ἁλιεῦσι, καὶ τοῖς αὐτῶν μαθηταῖς ἐγνώρισται.]

Verſ. 47. Πάλιν — συναγαγούσῃ.

Βασιλείαν τῶν οὐρανῶν αὖθις λέγει, τὸν λόγον τῆς πίστεως· θάλασσαν δὲ, τὸν κόσμον, διὰ τὴν πικρίαν καὶ τὰ κύματα τῶν πειρασμῶν. παντοῖα δὲ γένη ἰχθύων, τὰ ποικίλα πλήθη τῶν ἐνδιαιτωμένων αὐτῷ ἀνθρώπων, ἀνδρῶν, γυναικῶν, νέων, γερόντων, ἀγάμων, γεγαμηκότων καὶ τοιούτων ἄλλων, ἢ καὶ τὰ διάφορα ἔθνη.

Verſ. 48. Ἣν — ἔβαλον.

Ὅτε ἐπληρώθη, τουτέστιν, ὅταν[7]) πάντες ἐπίστευσαν, οἱ μὲν ἑκόντες, οἱ δὲ ἄκοντες· αἰγιαλὸν δὲ νόει, τὸν τόπον, ἔνθα μέλλει κρῖναι ὁ κύριος· συλλέγοντας δὲ, τοὺς ἀγγέλους. καὶ καλὰ μὲν θηράματα, τοὺς δικαίους· σαπρὰ δὲ, τοὺς πονηρούς· ἀγγεῖα δὲ, τὰς ἀποκεκληρωμένας τοῖς δικαίοις μονάς· τἄλλα δὲ τῆς παραβολῆς ὁμοίως οὐ πολυπραγμονητέον.

Verſ. 49.

γὰρ addit etiam Hentenius. Coniungitur ergo cum verſ. 47.

7) ὅτε. A.

Verſ. 49. *Sic — ſeculi.*

Sic, ſicut dicturus eſt.

Verſ. 49. *Exibunt — v. 50. dentium.*

Atqui in ſexageſimo primo capite ait quod ipſe ſeparabit eos a ſe inuicem. Quid ergo dicendum eſt? Quod ipſe quidem ſeparabit eos ſuo iuſſu: angeli vero ſeparabunt eos operatione, praeceptum Domini tanquam miniſtri exequentes. Eſt autem ſeparare, diuidere. Quia vero in fine parabolae dixit quod praua foras abiecerunt: ne quis ſuſpicetur ſine periculo eſſe eiusmodi eiectionem: interpretatur dicens, quod etiam mittent eos in caminum ignis, et caetera.

Verſ. 51. *Dicit — omnia?*

Quae videlicet in parabolis neceſſaria ſunt? Atqui ſciebat tanquam Deus quod ea intellexerant. Reliquum eſt ergo, vt hoc more humano interrogauerit.

Verſ. 51. *Dicunt — v. 52. vetera.*

Quum illi faſſi eſſent ſe intelligere, parabolam ſubinfert quae doceat, omnes legitime ab ipſo edoctos, intelligentia diteſcere. Omnis, inquit, ſcriba ſiue ſapiens edoctus a rege coelorum qui eſt Chriſtus, intelligentia diues eſt: edoctus inquam ab eo priusquam ſcilicet fallatur: et ſimilis factus eſt

8) Ex Hentenii interpretatione, quae tamen ſenſum non eſt aſſecuta, intelligitur ſaltem, illum quoque in ſuo Codice reperiſſe πρό. Si ergo πρὸ neceſſario explicandum eſt, aliter accipi nequit, quam πρὶν διδαχθῆναι παρ' ἀνθρώπων τὰ ἀνθρώποις δοκοῦν.

Verſ. 49. Οὕτως — αἰῶνος.

Οὕτως, ὡς ἐρεῖ.

Verſ. 49. Ἐξελεύσονται — v. 50. ὀδόντων.

Καὶ μὴν, ἐν τῷ ἑξηκοστῷ πρώτῳ κεφαλαίῳ φησὶν, ὅτι [d]) αὐτὸς ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων. τί οὖν ἐστιν εἰπεῖν; ὅτι αὐτὸς μὲν ἀφοριεῖ αὐτοὺς, τῷ προστάγματι· οἱ δὲ ἄγγελοι ἀφοριοῦσιν αὐτοὺς, τῇ ἐνεργείᾳ, τὸ πρόσταγμα τὸ δεσποτικὸν ὡς ὑπηρέται πράττοντες. ἀφορίζειν δέ ἐστι, τὸ διαχωρίζειν. ἐπεὶ δὲ ἐν τῷ τέλει τῆς παραβολῆς εἶπεν, ὅτι τὰ σαπρὰ ἔξω ἔβαλον, ἵνα μὴ ὑπολάβῃ τις, ἀκίνδυνον εἶναι τὴν τοιαύτην ἐξαγωγὴν, ἡρμήνευσε ταύτην, εἰρηκὼς, ὅτι καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρὸς καὶ τὰ ἑξῆς.

d) Matt. 25, 32.

Verſ. 51. Λέγει — πάντα;

Τὰ ἀναγκαῖα δηλαδὴ τῶν παραβολῶν. καὶ μὴν, ὡς θεὸς ἐγίνωσκεν, ὅτι συνῆκαν αὐτά. λοιπὸν οὖν, ὡς ἄνθρωπος τοῦτο ἠρώτησε.

Verſ. 51. Λέγουσιν — v. 52. παλαιά.

Ὁμολογησάντων γνῶναι, λέγει παραβολὴν διδάσκουσαν, ὅτι πάντες οἱ γνησίως αὐτῷ μαθητευθέντες πλουτοῦσι γνῶσιν. πᾶς γάρ, φησι, γραμματεὺς, ἤτοι, σοφὸς, μαθητευθεὶς τῷ βασιλεῖ τῶν οὐρανῶν, ὅς ἐστιν ὁ χριστὸς, πλουτεῖ γνῶσιν. μαθητευθεὶς δὲ αὐτῷ, πρὸ [8]) τοῦ σοφισθῆναι

κοῦντα, ἀλλ' οὐ θεῷ. Hoc autem mihi diſplicet. Malim ergo ſententia commodiſſima et expeditiſſima, πρὸς τὸ σοφισθῆναι παρὰ τοῦ χριστοῦ. μαθητευθεὶς ergo non eſt *edoctus*, ſed, qui Chriſti ſchola et doctrina vſus eſt.

est homini patrifamilias, id est, diuiti, qui depromit quando vult de thesauro suo nouas veteresque res aureas. Intelligitur autem per noua, intellectus noui testamenti: per vetera autem, veteris. Quod vero dicit: Propterea, non est nunc causae redditiuum, sed confirmatiuum, id est, vere.

Vers. 53. *Et — v. 54. illorum.*

Patriam eius vocat Nazaret tanquam patriam matris eius, et illius qui putabatur pater eius: et tanquam locum vbi nutritus erat. Dicit enim Lucas quod venerit Nazaret vbi fuerat nutritus. Docebat autem eos. Quos? Eos videlicet qui e patria sua erant. Causam vero propter quam in synagoga docebat, praediximus in principio quarti capitis.

Vers. 54. *Ita vt — virtutes?*

Sapientia sermonum et virtutes verborum. Aut virtutes vocat miracula. Videntes enim eum docentem quae excelsiora erant, magisque apposita ad persuadendum quam quae docuerant viri quondam insignes: facientem etiam maiora miracula: et ignorantes eum Dei esse sapientiam ac virtutem, mirabantur et sermones eius et miracula. Offendebantur autem per eum, qui talia doceret ac miracula huiusmodi ederet, ob aliud nihil, nisi quod humilibus ortus esset parentibus. Sed vere caeca et insensata res est inuidia. Vnde enim magis admirari eumque adorare oportuit, quod ab eiusmodi parentibus talis progenitus esset filius, inde per eum offendebantur.

Vers. 55.

θῆναι δηλονότι. καὶ ἔοικεν ἀνθρώπῳ οἰκοδεσπότῃ, τουτέστι, πλουσίῳ, ὅστις ἐκβάλλει, ὅτε βούλεται, ἐκ τοῦ θησαυροῦ αὐτοῦ, καινὰ καὶ παλαιὰ χρυσία. νοοῦνται δὲ καινὰ μὲν, τὰ τῆς νέας διαθήκης νοήματα· παλαιὰ δὲ, τὰ τῆς παλαιᾶς. τὸ δὲ διὰ τοῦτο, οὐκ ἔστι νῦν αἰτιολογικὸν, ἀλλὰ βεβαιωτικὸν, ἀντὶ τοῦ, ἀληθῶς.

Verſ. 53. Καὶ — v. 54. αὐτῶν.

Πατρίδα αὐτοῦ λέγει, τὴν ναζαρὲτ, ὡς πατρίδα τῆς μητρὸς αὐτοῦ καὶ τοῦ νομιζομένου πατρὸς αὐτοῦ, καὶ ὡς τραφεὶς ἐν αὐτῇ. φησὶ γὰρ ὁ λουκᾶς, ὅτι καὶ e) ἦλθεν εἰς τὴν ναζαρὲτ, οὗ ἦν τεθραμμένος. ἐδίδασκε δὲ αὐτοὺς, τίνας; δηλαδὴ τοὺς τῆς πατρίδος αὐτοῦ. τὴν αἰτίαν δὲ, δι' ἣν ἐν ταῖς συναγωγαῖς διδάσκει, προειρήκαμεν ἐν ἀρχῇ τοῦ τετάρτου κεφαλαίου.

e) Luc. 4. 16.

Verſ. 54. Ὥστε — δυνάμεις;

Ἡ σοφία τῶν λόγων, καὶ αἱ δυνάμεις τῶν λόγων. ἢ δυνάμεις καλεῖ, τὰ θαύματα. βλέποντες γὰρ αὐτὸν ὑψηλότερα μὲν καὶ πιθανώτερα τῶν πάλαι περιβοήτων ἀνδρῶν διδάσκοντα, μείζονα δὲ θαύματα ποιοῦντα, καὶ ἀγνοοῦντες, ὅτι αὐτὸς ἦν σοφία θεοῦ καὶ δύναμις· ἐθαύμαζον μὲν καὶ τοὺς λόγους αὐτοῦ καὶ τὰ θαύματα· εἰς αὐτὸν δὲ, τὸν τοιαῦτα διδάσκοντα καὶ τερατουργοῦντα, ἐσκανδαλίζοντο, δι' οὐδὲν ἕτερον, ἢ διότι γονέων ἦν εὐτελῶν. ἀλλ' ὄντως τυφλὸν καὶ ἀνόητον ὁ φθόνος. ἀφ' ὧν γὰρ ἔδει μᾶλλον θαυμάζειν, καὶ προσκυνεῖν αὐτὸν, ὅτι τοιούτων γονέων τοιοῦτος προῆλθεν υἱὸς, ἀπὸ τούτων εἰς αὐτὸν σκανδαλίζονται.

Verſ. 55. *Num hic — v. 56. ſunt?*

Haec omnia per interrogationem legenda ſunt: nam haec haeſitantes inuicem dicebant.

Verſ. 56. *Vnde — omnia?*

Vide extremam dementiam. Dicunt enim: Parentibus ortus eſt tenuibus, vnde ergo huic omnia iſta prouenerunt? Atqui o vani, non ob parentum generoſitatem, neque ob diuitiarum affluentiam, aut aliud quippiam huiusmodi, ſed ob egregiam vitam intelligentia ac miracula diuinitus his qui digni ſunt donantur.

Verſ. 57. *Et — eum.*

Hoc eſt ſuper illo.

Verſ. 57. *Ieſus autem — ſua.*

Marcus autem dixit, niſi in patria ſua, et inter cognatos, et in domo ſua. Ab exemplo autem ſeipſum ſignificauit Chriſtus, et in patria, dixit propter totam Nazaret: Inter cognatos vero, propter eos qui quomodocunque cognati eius erant: In domo autem, propter ſolos fratres eius: Omnes enim deſpiciebant eum: illi quidem tanquam patriotam, iſti vero velut cognatum, hi autem quaſi fratrem. Ideo etiam quum ſupernaturaliter magnificaretur, offendebantur ſuper eo, hoc eſt, propter inuidiam ei credere non poterant: etſi quidam magis, quidam autem minus inui-

Verſ. 55. Οὐχ οὗτος — v. 56. εἰσί;

Ταυτὶ πάντα κατ' ἐρώτησιν ἀναγνωστέον. διαπορoῦντες γὰρ ἔλεγον ταῦτα πρὸς ἀλλήλους. πρὸς ἡμᾶς δὲ, ἀντὶ τοῦ, παρ' ἡμῖν.

Verſ. 56. Πόθεν — πάντα;

Ὅρα βαθεῖαν ἄνοιαν. λέγουσι γὰρ, ὅτι ἐπεὶ γονέων εὐτελῶν ἐστὶ, πόθεν ἄλλοθεν τούτῳ ταῦτα πάντα προσεγένοντο; καὶ μὴν, ὦ μάταιοι, οὐκ ἀπὸ γονέων εὐκλείας, οὐδ' ἀπὸ χρημάτων δαψιλείας, ἢ τοιούτου τινὸς, ἀλλ' ἐξ ἐναρέτου πολιτείας ἡ γνῶσις καὶ τὰ θαύματα θεόθεν τοῖς ἀξίοις χαρίζονται.

Verſ. 57. Καὶ — αὐτῷ.

Ἀντὶ τοῦ, ἐπ' αὐτῷ.

Verſ. 57. Ὁ δὲ ἰησοῦς — αὐτοῦ.

Ὁ δὲ μάρκος εἶπεν, ὅτι f) εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. παραδειγματικῶς δὲ ἑαυτὸν ἐδήλωσεν ὁ χριστός. καὶ ἐν μὲν τῇ πατρίδι εἴρηκε, διὰ πᾶσαν τὴν ναζαρέτ· ἐν δὲ τοῖς συγγενέσι, διὰ τοὺς ὁπωσδήποτε συγγενεῖς αὐτοῦ· ἐν δὲ τῇ οἰκίᾳ, διὰ μόνους τοὺς ἀδελφοὺς αὐτοῦ. πάντες γὰρ αὐτοῦ κατεφρόνουν. οἱ μὲν, ὡς συμπατριώτου, οἱ δὲ, ὡς συγγενοῦς, οἱ δὲ, ὡς ἀδελφοῦ. διὸ καὶ ὑπερφυῶς εὐδοκιμοῦντος ἐσκανδαλίζοντο ἐπ' αὐτῷ, τουτέστιν, οὐκ ἠδύναντο πιστεύειν αὐτῷ διὰ τὸν φθόνον, εἰ καὶ οἱ μὲν πλεῖον, οἱ δὲ ἔλαττον ἐφθόνουν. οὐκ

f) Marc. 6, 4.

inuiderent. Non eſt ergo, inquit, propheta ſine honore apud quos videtur propheta, niſi in patria ſua, et inter cognatos et in domo ſua. Hi enim quanquam prophetam eum eſſe nouerunt, tamen deſpicerunt eum propter cauſam dictam: et quia aſſueta facile deſpiciuntur. Lucas autem dixit, Nullus propheta acceptus eſt in patria ſua, vocans etiam ipſe acceptum, id quod in honore eſt.

Verſ. 58. *Et — illorum.*

Virtutes dicit miracula: tanquam diuinae virtutis opera. Et vide ſapientiam. Fecit ſiquidem aliquas, ne dicere poſſent, Quia odio nos habet, non curat eos qui ſunt apud nos: quodſi etiam apud nos haec egiſſet, crediđiſſemus vtique et nos: Non multas autem, propter incredulitatem eorum, quia nec his quae factae ſunt credebant. Propterea Marcus quoque dixit: Et mirabatur propter incredulitatem eorum, tantam videlicet impudentiam. Sed Matthaeus quidem dixit, Non fecit ibi virtutes multas: Marcus vero: Nec potuit ibi ne vnam quidem virtutem operari, niſi quod paucos infirmos impoſitis manibus curauit. Quomodo ergo dixit, quod non potuit? Quia impotentiam vocare ſolemus non ſolum defectum potentiae,

9) Ita etiam Hentenius. Sed παρ' οἷς, videtur mox poſtulare, non εἰ μὴ, ſed ἀλλ' ἐν τῇ. Malim ergo παρ' ὃ, id eſt, καθὸ δοκεῖ προφήτης.

ἔςιν οὖν, φησὶ, προφήτης ἄτιμος, παρ' [9]) οἷς δοκεῖ προφήτης, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. οὗτοι γὰρ, καίτοι προφήτην αὐτὸν εἰδότες, ὅμως καταφρονοῦσιν αὐτοῦ, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ διότι τὰ συνήθη, εὐκαταφρόνητα. ὁ δὲ λουκᾶς εἶπεν, ὅτι [g]) ὐδεὶς προφήτης δεκτός ἐςι ἐν τῇ πατρίδι αὐτοῦ, δεκτὸν κἀκεῖνον λέγων, τὸν τίμιον. g) Luc. 4, 24.

Verſ. 58. Καὶ — αὐτῶν.

Δυνάμεις, τὰ θαύματα λέγει, ὡς δυνάμεως θείας ἔργα. καὶ ὅρα σοφίαν. ἐποίησε μὲν γὰρ, ἵνα μὴ δύνωνται λέγειν, ὅτι μισῶν ἡμᾶς ὐ θεραπεύει τὺς ἐν ἡμῖν, καὶ, ὅτι εἰ ἐποίησε καὶ παρ' ἡμῖν, ἐπιςεύσαμεν ἂν καὶ ἡμεῖς. οὐ πολλὰς δὲ, διὰ τὴν ἀπιςίαν αὐτῶν, ὅτι καὶ γινομένων ἠπίςουν ἔτι. διὸ καὶ ὁ μάρκος εἶπεν, ὅτι καὶ ἐθαύμαζε [h]) διὰ τὴν ἀπιςίαν αὐτῶν, δηλονότι τοσοῦτον ἀναισχυντοῦσαν. ἀλλ' ὁ μὲν ματθαῖός φησιν, ὅτι οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς· ὁ δὲ μάρκος, ὅτι καὶ [i]) οὐκ ἠδύνατο ἐκεῖ ὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώςοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε. πῶς οὖν εἶπεν, ὅτι οὐκ ἠδύνατο; διότι ἀδυναμίαν ὀνομάζειν εἰώθαμεν, οὐ μόνον τὴν ἔλλειψιν τῆς δυνάμεως, ἀλλὰ καὶ τὸν ἐμποδισμὸν


h) Marc. 6, 6.

i) Marc. 6, 5.

τῆς

tiae, verum etiam impedimentum huius aut illius causae: sicut etiam nunc. Impediebat enim incredulitas illorum quibus beneficium praestabatur. Non poterat ergo, hoc est, impediebatur: et non oportebat eos inuitos beneficio afficere.

Finis sectionis primae.



τῆς οἵας δή τινος αἰτίας, ὥσπερ καὶ νῦν. ἐνεπόδιζε γὰρ αὐτῷ ἡ ἀπιστία τῶν εὐεργετουμένων. οὐκ ἠδύνατο οὖν, ἀντὶ τοῦ, ἐνεποδίζετο. καὶ οὐκ ἔδει [1]) βιαίως εὐεργετεῖν αὐτούς.

[1]) Recte Hentenius, *inuitos.*

Τέλος τοῦ πρώτου τμήματος.





